This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

Plutarch.

7

1795
NSPL

7

1795
NSPL

ΠΛΟΥΤΑΡΧΟΥ

ΤΟΥ ΧΑΙΡΩΝΕΩΣ

ΤΑ ΗΘΙΚΑ.

PLUTARCHI

CHÆRONENSIS

MORALIA,

ID EST

OPERA, EXCEPTIS VITIS, RELIQUA.

GRÆCA EMENDAVIT,
NOTATIONEM EMENDATIONUM, ET LATINAM XYLANDRI
INTERPRETATIONEM CASTIGATAM, SUBJUNXIT,
ANIMADVERSIONES EXPLICANDIS REBUS AC VERBIS, ITEM
INDICES COPIOSOS, ADJECIT,

DANIEL WYTTENBACH,

HIST. ELOQ. LITT. GR. ET LAT.
IN ILLUSTRI ATHEN. AMSTELOD. PROFESSOR.

TOMUS IV.

ASTOR LIBRARY NEW-YORK.

OXONII,
E TYPOGRAPHEO CLARENDONIANO.
M DCC XCVII.

Hoc Volumine IV, continentur,

PLUTARCHI MORALIA,

GRÆCE ET LATINE,

INTERJECTA EMENDATIONUM NOTATIONE.

		PAG.
LIX.	ΕΡΩΤΙΚΟΣ. *Amatorius Liber.*	1
LX.	ΕΡΩΤΙΚΑΙ ΔΙΗΓΗΣΕΙΣ. *Amatoriæ Narrationes.*	93
LXI.	ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΜΑΛΙΣΤΑ ΤΟΙΣ ΗΓΕΜΟΣΙ ΔΕΙ ΤΟΝ ΦΙΛΟΣΟΦΟΝ ΔΙΑΛΕΓΕΣΘΑΙ. *Maxime cum principibus Viris Philosopho esse disserendum.*	111
LXII.	ΠΡΟΣ ΗΓΕΜΟΝΑ ΑΠΑΙΔΕΥΤΟΝ. *Ad Principem ineruditum.*	127
LXIII.	ΕΙ ΠΡΕΣΒΥΤΕΡΩ ΠΟΛΙΤΕΥΤΕΟΝ. *An Seni Respublica gerenda sit.*	143
LXIV.	ΠΟΛΙΤΙΚΑ ΠΑΡΑΓΓΕΛΜΑΤΑ. *Præcepta gerendæ Reipublicæ.*	203
LXV.	ΠΕΡΙ ΜΟΝΑΡΧΙΑΣ ΚΑΙ ΔΗΜΟΚΡΑΤΙΑΣ ΚΑΙ ΟΛΙΓΑΡΧΙΑΣ. *De unius in Republica Dominatione, populari Statu, et paucorum Imperio.*	309
LXVI.	ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΔΑΝΕΙΖΕΣΘΑΙ. *De vitando Ære alieno.*	317
LXVII.	ΒΙΟΙ ΤΩΝ ΔΕΚΑ ΡΗΤΟΡΩΝ. *De Vitis decem Oratorum.*	337

		PAG.
LXVIII.	ΣΥΓΚΡΙΣΕΩΣ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΚΑΙ ΜΕΝΑΝΔΡΟΥ ΕΠΙΤΟΜΗ.	419
	De Comparatione Aristophanis et Menandri.	
LXIX.	ΠΕΡΙ ΤΗΣ ΗΡΟΔΟΤΟΥ ΚΑΚΟΗΘΕΙΑΣ.	429
	De Herodoti Malignitate.	
LXX.	ΠΕΡΙ ΤΩΝ ΑΡΕΣΚΟΝΤΩΝ ΤΟΙΣ ΦΙΛΟΣΟΦΟΙΣ. ΒΙΒΛΙΑ Ε'.	513
	De Placitis Philosophorum. Libri V.	
LXXI.	ΑΙΤΙΑΙ ΦΥΣΙΚΑΙ.	681
	Quæstiones Naturales.	
LXXII.	ΠΕΡΙ ΤΟΥ ΕΜΦΑΙΝΟΜΕΝΟΥ ΠΡΟΣΩΠΟΥ ΤΩ, ΚΥΚΛΩ, ΤΗΣ ΣΕΛΗΝΗΣ.	721
	De Facie quæ in Orbe Lunæ apparet.	
LXXIII.	ΠΕΡΙ ΤΟΥ ΠΡΩΤΟΥ ΨΥΧΡΟΥ.	829
	De primo Frigido.	
LXXIV.	ΠΕΡΙ ΤΟΥ ΠΟΤΕΡΟΝ ΥΔΩΡ Η ΠΥΡ ΧΡΗΣΙΜΩΤΕΡΟΝ.	871
	Aquane an Ignis sit utilior.	
LXXV.	ΠΟΤΕΡΑ ΤΩΝ ΖΩΩΝ ΦΡΟΝΙΜΩΤΕΡΑ, ΤΑ ΧΕΡΣΑΙΑ Η ΤΑ ΕΝΥΔΡΑ.	889
	Terrestriane an aquatilia Animalia sint callidiora.	

ΠΛΟΥΤΑΡΧΟΥ

ΕΡΩΤΙΚΟΣ.

ΠΛΟΥΤΑΡΧΟΥ

ΕΡΩΤΙΚΟΣ.

PLUTARCHI

AMATORIUS LIBER.

α΄. ΦΛΑΟΥΙΑΝΟΣ. Ἐν Ἑλικῶνι φῂς, ὦ Αὐτόβουλε, τοὺς περὶ Ἔρωτος λόγους γενέσθαι, οὓς
F εἴτε γραψάμενος, εἴτε καταμνημονεύσας, τῷ πολλάκις ἐπανερέσθαι τὸν πατέρα, νυνὶ μέλλεις ἡμῖν δεηθεῖσιν ἀπαγγέλλειν.

ΑΥΤΟΒΟΥΛΟΣ. Ἐν Ἑλικῶνι παρὰ ταῖς Μούσαις, ὦ Φλαουϊανὲ, τὰ Ἐρωτικὰ Θεσπιέων ἀγόντων· ἄγουσι γὰρ ἀγῶνα πενταετηρικὸν, ὥσπερ καὶ ταῖς Μούσαις, καὶ τῷ Ἔρωτι, φιλοτίμως πάνυ καὶ λαμπρῶς.

I. FLAVIANUS. In Helicone ais, Autobule, sermones de Amore fuisse habitos, quos vel conscriptos abs te vel memoria comprehensos, quod de iis subinde e patre quæsivisti, nunc nobis rogatu nostro es enunciaturus.

AUTOBULUS. In Helicone apud Musas, Flaviane, Amatoria agentibus Thespiensibus: nam certamen quinquennale celebrant ut Musis, ita etiam Amori, magnifice admodum et splendide.

ΦΛΑΟΥΙΑΝΟΣ. Οἶσθα οὖν ὅ σου μέλλομεν δεῖσθαι πάντες οἱ πρὸς τὴν ἀκρόασιν ἥκοντες;

ΑΥΤΟΒΟΥΛΟΣ. Οὐκ· ἀλλὰ εἴσομαι λεγόντων. 749

ΦΛΑΟΥΙΑΝΟΣ. Ἄφελε τοῦ λόγου τὸ νῦν ἔχον ἐποποιῶν τε λειμῶνας καὶ σκιάς, καὶ ἅμα κιττοῦ τε καὶ λάκκων διαδρομάς, καὶ ὅσα ἄλλα τοιούτων τόπων ἐπιλαβόμενοι γλίχονται τὸν Πλάτωνος Ἰλισσόν, καὶ τὸν ἄγνον ἐκεῖνον, καὶ τὴν ἠρέμα προσάντη πόαν πεφυκυῖαν, προθυμότερον ἢ κάλλιον ἐπιγράφεσθαι.

ΑΥΤΟΒΟΥΛΟΣ. Τί δὲ δεῖται τοιούτων, ὦ ἄριστε Φλαουϊανέ, προοιμίων ἡ διήγησις; εὐθὺς ἡ πρόφασις, ἐξ ἧς ὡρμήθησαν οἱ λόγοι, χορὸν αἰτεῖ τῷ πάθει, καὶ σκηνῆς δεῖται, τά τε ἄλλα δράματος οὐδὲν ἐλλείπει· μόνον εὐχώμεθα τῇ μητρὶ τῶν Μουσῶν, ἵλεω εἶναι, καὶ συνανασώζειν τὸν μῦθον. B

F. 8. ὅ σοῦ] Distincte ita scripsi, ut Xyl. vers. et Mez. Accedit E. ὅσου. Vulgo, ὅσον.
A. 4. λάκκων] B. E. σμιλάκων. Paulo ante, ἐμποιῶν dedit Xyl. pro ἐποποιῶν.
A. 9. ἡ πρόφασις] ἡ addidi e Bas. Xyl. Mez.
B. 1. ἵλεω εἶναι] E. ἵλεω παρεῖναι.

FLAVIANUS. Scisne quid petituri abs te simus, quotquot ad audiendum confluximus?

AUTOBULUS. Non, sed novero ubi dixeritis.

FLAVIANUS. In præsentia noli sermoni inserere poëtarum prata et umbras, hederæque et aquæ discursus, aliaque id genus, quæ nonnulli in locorum descriptionem trahentes satagunt Platonis Ilissum, et viticem illum, leniterque sursum emissam herbam, studiosius quam rectius transcribere.

AUTOBULUS. Neque vero, mi Flaviane, narratio his opus habet exordiis. Ipsa statim occasio, unde cœpta fuit disputatio, chorum flagitat, scenaque indiget, et reliqua nihil a dramate absunt. Precemur modo matrem Musarum, ut propitia sit, nosque in sermone commemorando adjuvet.

β. Ὁ γὰρ πατὴρ, ἐπεὶ πάλαι πρὶν ἡμᾶς γενέσθαι, τὴν μητέρα νεωστὶ κεκομισμένος ἐκ τῆς γενομένης τοῖς γονεῦσιν αὐτῶν διαφορᾶς καὶ στάσεως, ἀφίκετο τῷ Ἔρωτι θύσων ἐπὶ τὴν ἑορτὴν, ἦγε τὴν μητέρα· καὶ γὰρ ἦν ἐκείνης ἡ εὐχὴ καὶ θυσία· τῶν δὲ φίλων οἴκοθεν μὲν αὐτῷ παρῆσαν οἱ συνήθεις, ἐν δὲ Θεσπιαῖς εὗρε Δαφναῖον τὸν Ἀρχιδάμου, Λυσάνδρας ἐρῶντα τῆς Σίμωνος, καὶ μάλιστα τῶν μνωμένων αὐτὴν εὐημεροῦντα, καὶ Σώκλαρον ἐκ Τιθόρας ἥκοντα τὸν Ἀριστίωνος· ἦν δὲ καὶ Πρω-
C τογένης ὁ Ταρσεὺς, καὶ Ζεύξιππος ὁ Λακεδαιμόνιος, ξένοι· Βοιωτῶν δὲ, ὁ πατὴρ ἔφη, τῶν γνωρίμων τοὺς πλείστους παρεῖναι. Δύο μὲν οὖν ἢ τρεῖς ἡμέρας κατὰ πόλιν, ὡς ἔοικεν, ἡσυχῆ πως φιλοσοφοῦντες ἐν ταῖς παλαίστραις καὶ διὰ τῶν θεάτρων ἀλλήλοις συνῆσαν· ἔπειτα φεύγοντες ἀργαλέον ἀγῶνα κιθαρῳδῶν, ἐντεύξεσι

B. 4. κεκομισμένος] Sic omnes libri, Ald. Bas. Xyl. B. E. Vulgo, κεκοσμημένος.

B. 6. ἑορτὴν, ἦγε] Sic omnes libri, Ald. Bas. Xyl. B. E. Vulgo, ἑορτὴν, καὶ ἦγε, quod Steph. habuit ex Leonic. et Schott.

B. 9. Λυσάνδρας] Ita Leonic. Schott. Mez. Amiot. et vers. Xyl. Vulgo, manifesto vitio Λύσανδρον.

II. Pater, cum jamdudum, ante nos natos, matre recens ducta, ob dissidium quoddam et rixam quæ parentibus eorum inciderat, veniret Amori sacrificatum, matrem una ad festivitatem adduxit: hujus enim erat votum et sacrificium. Domo secum comites habuit familiares: Thespiis autem invenit Daphnæum Archidami filium, qui Lysandram Simonis filiam amabat, omnium que procorum gratia primus erat: Soclarum quoque Aristionis filium Tithora venientem: aderant etiam hospites, Protogenes Tarsensis, et Zeuxippus Lacedæmonius. De Bœotis notorum plurimos aiebat pater ibidem fuisse. Biduum itaque aut triduum ea in urbe placide philosophando in palæstris et theatris una exegerunt: deinde fugientes molestum citharœdorum cer-

καὶ σπουδαῖς προειλημμένον, ἀνέζευξαν οἱ πλεῖστοι, ὥσ-
περ ἐκ πολεμίας, εἰς τὸν Ἑλικῶνα, καὶ κατηυλίσαντο
παρὰ ταῖς Μούσαις. Ἕωθεν οὖν ἀφίκετο πρὸς αὐτοὺς
Ἀνθεμίων καὶ Πεισίας ἄνδρες ἔνδοξοι, Βάκχωνι δὲ τῷ
καλῷ λεγομένῳ προσήκοντες, καὶ τρόπον τινὰ δι' εὔ-
νοιαν ἀμφότεροι τὴν ἐκείνου διαφερόμενοι πρὸς ἀλλή- D
λους. Ἦν γὰρ ἐν Θεσπιαῖς Ἰσμηνοδώρα γυνὴ πλούτῳ
καὶ γένει λαμπρά, καὶ, νὴ Δία, τὸν ἄλλον εὔτακτος
βίον· ἐχήρωσε γὰρ οὐκ ὀλίγον χρόνον ἄνευ ψόγου, καί-
περ οὖσα νέα καὶ ἱκανὴ τὸ εἶδος· τῷ δὲ Βάκχωνι φίλης
ὄντι καὶ συνήθους γυναικὸς υἱῷ πράττουσα γάμον κόρης
κατὰ γένος προσηκούσης, ἐκ τοῦ συμπαρεῖναι καὶ δια-
λέγεσθαι πολλάκις, ἔπαθε πρὸς τὸ μειράκιον αὐτή· καὶ
λόγους φιλανθρώπους ἀκούουσα καὶ λέγουσα περὶ αὐτοῦ, καὶ
πλῆθος ὁρῶσα γενναίων ἐραστῶν, εἰς τὸ ἐρᾶν προήχθη,

C. 9. ἀφίκετο] Malim ἀφίκοντο, cum Mez.
D. 8. ἔπαθε] Credo legendum, ἔπαθέ τι.

tamen prensationibus et studiis præoccupatum, plerique tanquam ex hostico castra moventes in Heliconem se subduxerunt, et apud Musas diverterunt. Prima luce venerunt ad eos Anthemion et Pisias, viri celebres, et uterque Bacchonis, qui formosus usurpabatur, necessarius, ac quodammodo ob benevolentiam ejus discordes. Res ita habet. Erat Thespiis mulier genere et opibus pollens Ismenodora, et quæ reliquo tempore pudice vixisset: nam satis diu vidua absque crimine manserat, quanquam ætate integra et forma non pœnitenda. Ceterum evenit, ut cujusdam amicæ et familiaris mulieris filio Bacchoni Ismenodora uxorem ambiret puellam quandam cognatam; ergo quia sæpe cum eo colloquebatur et una erat, affecta nonnihil est amore adversum adolescentem: cumque audiret de eo dici in bonam partem, et ipsa humaniter loqueretur, videretque multitudinem generosorum amatorum, amare eum

καὶ διενοεῖτο μηδὲν ποιεῖν ἀγενὲς, ἀλλὰ γημαμένη φανε-
E ρῶς συγκαταζῆν τῷ Βάκχωνι. Παραδόξου δὲ τοῦ πράγματος αὐτοῦ φανέντος, ἥ τε μήτηρ ὑφεωρᾶτο τὸ βάρος τοῦ οἴκου καὶ τὸν ὄγκον ὡς οὐ κατὰ τὸν ἐραστήν· τινὲς δὲ καὶ συγκυνηγοὶ τῷ μὴ καθ' ἡλικίαν τῆς Ἰσμηνοδώρας δεδιττόμενοι τὸν Βάκχωνα καὶ σκώπτοντες, ἐργωδέστεροι τῶν ἀπὸ σπουδῆς ἐνισταμένων ἦσαν ἀνταγωνισταὶ πρὸς τὸν γάμον. Ἠδεῖτο γὰρ ἔφηβος ἔτι ὢν
F χήρᾳ συνοικεῖν· οὐ μὴν ἀλλὰ τοὺς ἄλλους ἐάσας, παρεχώρησε τῷ Πεισίᾳ καὶ τῷ Ἀνθεμίωνι βουλεύσασθαι τὸ συμφέρον, ὧν ὁ μὲν ἀνεψιὸς αὐτοῦ ἦν πρεσβύτερος, ὁ δὲ Πεισίας αὐστηρότατος τῶν ἐραστῶν· διὸ καὶ πρὸς τὸν γάμον ἀντέπραττε, καὶ καθήπτετο τοῦ Ἀνθεμίωνος ὡς προϊεμένου τῇ Ἰσμηνοδώρᾳ τὸ μειράκιον· ὁ δὲ ἐκεῖνον οὐκ ὀρθῶς ἔλεγε ποιεῖν, ἀλλὰ, τὰ ἄλλα χρηστὸν ὄντα, μιμεῖσθαι τοὺς φαύλους ἐραστὰς, οἴκου καὶ γάμου καὶ πραγμάτων

F. 1. παρεχώρησε] Sic Bas. Xyl. eoque ducit Ald. παραχωρῆσαι. Vulgo, παραχωρεῖται, quod Steph. sumsit a Leonic. Schott. Anon. nec dissentiunt B. E.

F. 3. ὧν ὁ μὲν] μὲν assumsi ex B. E. Bas. Mez. Vulgo abest.

cœpit: nihil vero indignum se ipsa facere cogitavit, sed contracto matrimonio vitam cum Bacchone degere. Quæ res cum per se videretur insolens, tum mater quoque adolescentis suspectam habuit domus amplitudinem filio graviorem: quidam etiam æqualium et venationis sociorum, eo quod ætas Ismenodoræ non cum ipsius adolescentia congrueret, Bacchonem terrentes, et dicteriis incessentes, difficiliores matrimonii oppugnatores iis ipsis fuere qui serio id dissuadebant. Tamen Baccho aliis omissis, Pisiæ et Anthemioni quid ex re foret deliberandum dedit: quorum hic patruelis senior ejus, Pisias amatorum acerrimus erat, ideoque nuptias pro virili impediebat, et Anthemionem culpabat qui Ismenodoræ adolescentem proderet. Contra Anthemio eum male aiebat facere, et cæteroqui probum, hic æmulari vi-

μεγάλων ἀποστεροῦντα τὸν φίλον, ὅπως ἄθικτος αὐτῷ καὶ καθαρὸς ἀποδύοιτο πλεῖστον χρόνον ἐν ταῖς παλαίστραις. 750

γ'. Ἵνα οὖν μὴ παροξύνοντες ἀλλήλους κατὰ μικρὸν εἰς ὀργὴν περαγάγοιεν, ὥσπερ διαιτητὰς ἐλθόμενοι καὶ βραβευτὰς τὸν πατέρα καὶ τοὺς σὺν αὐτῷ, παρεγένοντο· καὶ τῶν ἄλλων φίλων οἷον ἐκ παρασκευῆς τῷ μὲν ὁ Δαφναῖος παρῆν, τῷ δὲ ὁ Πρωτογένης· ἀλλὰ οὗτος μὲν ἀνέδην ἔλεγε κακῶς τὴν Ἰσμηνοδώραν· ὁ δὲ Δαφναῖος, Ὦ Ἡράκλεις, ἔφη, τί οὐκ ἄν τις προσδοκήσειεν, εἰ καὶ Πρωτογένης ἔρωτι πολεμήσων πάρεστιν, ᾧ καὶ παιδιὰ πᾶσα καὶ σπουδὴ περὶ Ἔρωτα καὶ δι' Ἔρωτος,

Λήθη μὲν λόγων, λήθη δὲ πάτρας, B

οὐχ ὡς τῷ Λαΐῳ πέντε μόνον ἡμερῶν ἀπέχοντι τῆς πατρίδος· βραδὺς γὰρ ὁ ἐκείνου καὶ χερσαῖος Ἔρως· ὁ δὲ σὸς ἐκ Κιλικίας Ἀθήναζε

—— λαιψηρὰ κυκλώσας πτερὰ

F. 9. ἄθικτος αὐτῷ] Ita Steph. ex Leonic. et Schott. Reliqui omnes ἀθίκτως αὐτῶν. In ἄθικτος tamen consentit E.

A. 9. παιδιὰ] Ita Xyl. Mez. et res ipsa postulat. Vulgo, παιδεία.

tiosos amatores, dum domo, matrimonio, rebusque magnis amicum privaret, ut is intactus et recens ipsi diutissime in palæstris se nudaret.

III. Ergo ne se invicem irritantes paulatim excandescerent, advenerunt arbitrium patri et qui cum eo erant deferentes. De reliquis amicis, tanquam de composito, Pisiæ Daphnæus patrocinabatur, Anthemioni Protogenes. Qui cum effuse insectaretur Ismenodoram, O Hercules, inquit Daphnæus, quid non exspectemus, quando etiam Protogenes adest bellum Amori facturus? cui seria et joca omnia circum Amorem et propter Amorem sunt: cujus caussa oblitus literarum, oblitus patriæ est: a qua non quinque duntaxat dierum spatio abest Laii exemplo, qui tardus fuit et terrestris Amor. Tuus vero, Protogenes, Amor e Cilicia usque Athenas

——*alas præpetes rotans*

διαπτάμενος πέταται, τοὺς καλοὺς ἐφορῶν καὶ συμπλανώμενος. Ἀμέλει γὰρ ἐξ ἀρχῆς ἐγεγόνει τοιαύτη τις αἰτία τῷ Πρωτογένει τῆς ἀποδημίας.

δ΄. Γενομένου δὲ γέλωτος, ὁ Πρωτογένης, Ἐγὼ δέ σοι δοκῶ, εἶπεν, Ἔρωτι νῦν πολεμεῖν, οὐχ ὑπὲρ Ἔρωτος διαμάχεσθαι πρὸς ἀκολασίαν καὶ ὕβριν αἰσχίστοις πράγμασι καὶ πάθεσιν εἰς τὰ κάλλιστα καὶ σεμνότατα
C τῶν ὀνομάτων εἰσβιαζομένην; Καὶ ὁ Δαφναῖος, Αἴσχιστα δὲ καλεῖς, ἔφη, γάμον καὶ σύνοδον ἀνδρὸς καὶ γυναικός, ἧς οὐ γέγονεν οὐδ' ἔστιν ἱερωτέρα κατάζευξις; Ἀλλὰ ταῦτα μὲν, εἶπεν ὁ Πρωτογένης, ἀναγκαῖα πρὸς γένεσιν ὄντα, σεμνύνουσιν οὐ φαύλως οἱ νομοθέται καὶ κατευλογοῦσι πρὸς τοὺς πολλούς· ἀληθινοῦ δὲ Ἔρωτος οὐδ' ὁτιοῦν τῇ γυναικωνίτιδι μέτεστιν, οὐδ' ἐρᾷν ὑμᾶς ἔγωγέ φημι τοὺς γυναιξὶ προσπεπονθότας ἢ παρθένοις, ὥσπερ οὐδὲ μυῖαι γάλακτος, οὐδὲ μέλιτται κηρίων ἐρῶσιν, οὐδὲ
D σιτευταὶ καὶ μάγειροι φιλοφρονοῦσι πιαίνοντες ὑπὸ

trans mare advolavit, ut formosos viseret, cumque iis oberraret. Videbatur autem principio talis quædam caussa Protogeni suæ fuisse peregrinationis.

IV. Oborto risu, Protogenes, Ego vero, inquit, tibi videor nunc Amorem impugnare, non pro Amore propugnare adversus intemperantiam et libidinem, quæ turpissimis factis atque affectibus in honestissima se nomina intrudit? Turpissimum vero vocas, aiebat Daphnæus, nuptias, et viri cum muliere consuetudinem? qua nulla est aut fuit unquam sanctior conjunctio? Hæc quidem, respondebat Protogenes, ad generationem necessaria non male laudibus vehunt legumlatores, et apud multitudinem prædicant. Veri Amoris ne minima quidem particula in gynæceo exstat: negoque ego, vos, erga mulieres aut virgines affectos, amare. Nam neque musca lac, neque favos apis amat; neque saginatores et coqui benevolentiæ caussa vitulos et

σκότῳ μόσχους καὶ ὄρνιθας. Ἀλλ᾽ ὥσπερ ἐπὶ σιτίον ἄγει καὶ ὄψον ἡ φύσις μετρίως καὶ ἱκανῶς τὴν ὄρεξιν, ἡ δὲ ὑπερβολὴ πάθους ἐνεργασαμένη, λαιμαργία τις, ἢ φιλοψία καλεῖται· οὕτως ἔνεστι τῇ φύσει τὸ δεῖσθαι τῆς ἀπ᾽ ἀλλήλων ἡδονῆς γυναῖκας καὶ ἄνδρας, τὴν δὲ ἐπὶ τοῦτο κινοῦσαν ὁρμὴν σφοδρότητι καὶ ῥώμῃ γενομένην πολλὴν καὶ δυσκάθεκτον, οὐ προσηκόντως Ἔρωτα καλοῦσιν. Ἔρως γὰρ εὐφυοῦς καὶ νέας ψυχῆς ἁψάμενος εἰς ἀρετὴν διὰ φιλίας τελευτᾷ· ταῖς δὲ πρὸς γυναῖκας ἐπιθυμίαις ταύταις, ἂν ἄριστα πέσωσιν, ἡδονὴν περίεστι καρποῦσθαι καὶ ἀπόλαυσιν ὥρας καὶ σώματος, ὡς ἐμαρτύ- E ρησεν Ἀρίστιππος τῷ κατηγοροῦντι Λαΐδος πρὸς αὐτὸν, ὡς οὐ φιλούσης, ἀποκρινάμενος, Ὅτι καὶ τὸν οἶνον οἴεται καὶ τὸν ἰχθὺν μὴ φιλεῖν αὐτὸν, ἀλλ᾽ ἡδέως ἑκατέρῳ χρῆται. Τέλος γὰρ ἐπιθυμίας, ἡδονὴ καὶ ἀπόλαυσις. Ἔρως δὲ προσδοκίας φιλίας ἀποβαλὼν, οὐκ ἐθέλει παραμένειν, οὐδὲ θεραπεύειν ἐφ᾽ ὥρᾳ τὸ λυποῦν καὶ

aves in tenebris saginant. Sed quemadmodum ad cibum natura moderato et sufficiente ducit appetitu, nimius jam vitium ingenerat, quod gulositas et belluatio dicatur sane: ita comparatum est natura, ut vir et mulier mutuo a se voluptatem expetant: quæ vero ad hoc movet concupiscentia, vehementior facta et effrænis, non convenienter Amor vocetur. Amor enim, ubi generosam adolescentis attigit indolem, in virtutem per amicitiam desinit: his autem cupiditatibus, quibus mulier et vir se invicem avent, si res optime cadat, licet corporis voluptate potiri, et formæ ætatisque fructum percipere: sicut Aristippus testatum fecit, qui Laidem apud se vituperanti quod non amaret, respondit, *A vino quoque et pisce non puto amari me, tamen utroque libenter vescor.* Nam finis concupiscentiæ voluptas est et fruitio: Amor, exspectatione amicitiæ amissa, non vult permanere, neque colere formæ gratia id quod molestum est,

ἀκμάζον, εἰ καρπὸν ἤθους οἰκεῖον εἰς φιλίαν καὶ ἀρετὴν οὐκ ἀποδίδωσιν. Ἀκούεις δέ τινος τραγικοῦ γαμέτου λέγοντος πρὸς τὴν γυναῖκα,

F Μισεῖς; ἐγὼ δὲ ῥᾳδίως μισήσομαι,
Πρὸς κέρδος ἕλκων τὴν ἐμὴν ἀτιμίαν.

Τούτου γὰρ οὐδὲν ἐστὶν ἐρωτικώτερος ὁ μὴ διὰ κέρδος ἀλλ' ἀφροδισίων ἕνεκα καὶ συνουσίας ὑπομένων γυναῖκα μοχθηρὰν καὶ ἄστοργον· ὥσπερ Στρατοκλεῖ τῷ ῥήτορι Φιλιππίδης ὁ κωμικὸς ἐπεγγελῶν ἐποίησεν,

Ἀποστρεφομένης τὴν κορυφὴν φιλεῖς μόλις.

Εἰ δ' οὖν καὶ τοῦτο τὸ πάθος δεῖ καλεῖν Ἔρωτα θῆλυν καὶ νόθον, ὥσπερ εἰς κυνόσαργες συντελοῦντα τὴν γυναικωνῖτιν· μᾶλλον δὲ, ὥσπερ ἀετόν τινα λέγουσι γνήσιον καὶ
751 ὀρειόν, ὃν Ὅμηρος μέλανα καὶ θηρευτὴν προσεῖπεν, ἄλλα δὲ γένη νόθων ἐστὶν ἰχθῦς περὶ ἕλη καὶ ὄρνιθας ἀργοὺς λαμβανόντων, ἀπορούμενοι δὲ πολλάκις ἀναφθέγγονταί τι λιμῶδες καὶ ὀδυρτικόν· οὕτως Ἔρως ὁ γνήσιος, ὁ παιδικός ἐστιν, οὐ πόθῳ στίλβων, ὡς ἔφη τὸν παρθένιον

neque id quod floret, si non fructum ingenii ad amicitiam et virtutem commodum efferat. Audis tragicum quendam maritum hæc uxori dicentem:

Odisti? ego me invisum facile patiar tibi,
Lucro meamque ducam contumeliam.

Nihilo magis hoc amator est, qui non ob lucrum, sed rei venereæ caussa perfert uxorem pravam et inhumanam: sicut Philippides comicus Stratoclem oratorem deridens fecit,

Aversæ retro verticem quam vix amas?

Si tamen hic quoque affectus sit Amor nominandus, effeminatus et spurius, et in gynæceum tanquam ad Cynosarges pertinens: immo, sicuti aquilam quandam dicunt germanam et montanam, quam Homerus nigram et venatricem vocavit: alia autem sunt spuriarum genera, quæ circum paludes captant pisces et aves ignavas, et sæpe cibi egentes lugubrem edunt præ fame sonum: sic germanus Amor est puerorum: non fulgens desiderio, ut de virgineo

Ἀνακρέων, οὐδὲ μύρων ἀνάπλεως καὶ γεγανωμένος, ἀλλὰ
λιτὸν αὐτὸν ὄψει καὶ ἄθρυπτον ἐν σχολαῖς φιλοσόφοις, ἢ
που περὶ γυμνάσια καὶ παλαίστρας, περὶ θήραν νέων ὀξὺ
μάλα καὶ γενναῖον ἐγκελευόμενον πρὸς ἀρετὴν τοῖς ἀξίοις
ἐπιμελείας· τὸν δὲ ὑγρὸν τοῦτον καὶ οἰκουρὸν ἐν κόλποις
διατρίβοντα καὶ κλινιδίοις γυναικῶν ἀεὶ διώκοντα τὰ μαλ- B
θακὰ, καὶ θρυπτόμενον ἡδοναῖς ἀνάνδροις καὶ ἀφίλοις καὶ ἀνεν-
θουσιάστοις, καταβάλλειν ἄξιον· ὡς καὶ Σόλων κατέβαλε,
δούλοις μὲν γὰρ ἐρᾷν ἀῤῥένων παίδων ἀπεῖπε καὶ ξηραλοι-
φεῖν, χρῆσθαι δὲ συνουσίαις γυναικῶν οὐκ ἐκώλυσε. Καλὸν
γὰρ ἡ φιλία καὶ ἀστεῖον· ἡ δὲ ἡδονὴ, κοινὸν καὶ ἀνελεύθερον.
Ὅθεν οὐ δοῦλον ἐρᾷν παίδων ἐλευθέριόν ἐστιν οὐδὲ ἀστεῖον·
συνουσίας γὰρ οὗτος ὁ Ἔρως, καθάπερ τῶν γυναικῶν.

έ. Ἔτι δὲ πλείονα λέγειν προθυμουμένου τοῦ Πρω-

B. 7. οὐ δοῦλον] Corrigendum, οὐδὲ δοῦλον, itaque verti. Paulo ante, in μὲν γὰρ, addidi γὰρ ex E.

B. 8. συνουσίας] Vulgo, ὁ συνουσίας, quod Steph. a Leonic. Schott. Anon. sumsit. Ald. E. οὐσία: B. οὐσίας: hinc Bas. Xyl. ὁ σίνει. Hoc ex dissensu veram effeci lectionem. Mox addendum ὁ ante τῶν γυναικῶν.

Anacreon ait, neque unguentis delibutus: sed nudum eum et absque mollitie videbis in scholis philosophorum aut circa palæstras et gymnasia, ac venationes adolescentium, acuta et generosa admodum voce ad virtutem eos exhortantem qui digni sunt accuratione: mollem autem istum et domo affixum invenies in mulierum gremiis et spondis versantem, semper mollia consectantem, et voluptatibus indulgentem a fortitudine, amicitia, instinctu animi divino alienis, dignum qui damnetur. Damnavit quidem Solon, qui puerorum amore et sicca unctione servis interdixit, concubitu mulierum non item. Est amicitia de rebus pulchris et scitis: voluptas vulgare quippiam et illiberale. Ita liberale non est, servum amare puerum: non enim hic Amor coitum habet, ut Amor mulierum.

V. Plura dicere cupientem Protogenem repressit Daph-

τοιγάρτοι, ἀντιπαρείσας ὁ Δαφναῖος, Εὖ γε, νὴ Δία, ἔφη, τοῦ Σόλωνος ἐμνήσθης· καὶ χρηστέον αὐτῷ γνώμονι τοῦ ἐρωτικοῦ ἀνδρός,

C *Ἔσθ' ἥβης ἐρατοῖσιν ἐπ' ἄνθεσι παιδοφιλήσῃ*
Μηρῶν ἱμείρων καὶ γλυκεροῦ στόματος.

Πρόσλαβε δὲ τῷ Σόλωνι καὶ τὸν Αἰσχύλον λέγοντα,

—— σέβας δὲ μηρῶν οὐ κατῃδέσω
Ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων.

Ἕτεροι μὲν γὰρ καταγελῶσιν αὐτῶν εἰ καθάπερ θύτας καὶ μάντεις εἰς τὰ μηρία καὶ τὴν ὀσφὺν ἀποβλέπειν τοὺς ἐραστὰς κελεύουσιν· ἐγὼ δὲ παμμέγεθες τοῦτο ποιοῦμαι σημεῖον ὑπὲρ τῶν γυναικῶν· εἰ γὰρ ἡ παρὰ φύσιν ὁμιλία πρὸς ἄρρενας οὐκ ἀναιρεῖ τὴν ἐρωτικὴν εὔνοιαν οὐδὲ
D βλάπτει, πολὺ μᾶλλον εἰκός ἐστι τῶν γυναικῶν ἢ ἀνδρῶν Ἔρωτα τῇ φύσει χρώμενον εἰς φιλίαν διὰ χάριτος ἐξικνεῖσθαι. Χάρις γὰρ οἶμαι, ὦ Πρωτόγενες, ἡ τοῦ θήλεος

C. 5. *πυκνῶν*] Recepi a Schott. Anon. T. V. B. et alio loco ita exstat. Vulgo, *ἀνιαρῶν*.
C. 6. *θύτας*] Sic B. Mez. Vulgo, *θύται*.
D. 1. *τῶν γυναικῶν ἢ*] Xyl. vers. et Mez. *τὸν γυναικῶν καί*: in postremo non assentior.

neus, inquiens, Recte, per Jovem, Solonis est a te facta mentio, eoque utemur judice amatoris:

Altera tum pueris in floribus expete amantis,
Et femora, et dulcis corporis.——

Adjunge etiam Soloni Æschylum:

Femoris honorem non reveritus es tamen,
Ingrate, qui pro tot frequentibus osculis.

Alii enim derident eos, si velut sacrificulos et ariolos amatores jubent in femora et coxam inspicere. Ego autem hoc permagnum pro mulieribus argumentum censeo. Si enim consuetudo naturæ adversa cum viris nihil adimit amatoriæ benevolentiæ, neque eam lædit, multo magis probabile est, mulierum quam virorum Amorem naturæ opera utentem per gratiam ad amicitiam pervenire. Quod enim, Protogenes, mulier viro obsequi-

σχύνεται γὰρ ϗ φοβεῖται, δεῖ δέ τινος εὐπρεπείας ἀπτομένῳ καλῶν ϗ ὡραίων· πρόφασις οὖν, φιλία ϗ ἀρετή· κονίεται δὲ καὶ ψυχρολουτεῖ, καὶ τὰς ὀφρῦς αἴρει, ϗ φιλοσοφεῖν φησὶ ϗ σωφρονεῖν ἔξω, διὰ τὸν νόμον· εἶτα νύκτωρ καὶ καθ' ἡσυχίαν

Γλυκεῖ' ὀπώρα φύλακος ἐκλελοιπότος.

Εἰ δὲ, ὡς φησι Πρωτογένης, οὐκ ἔστιν ἀφροδισίων παιδικῶν κοινωνία, πῶς Ἔρως ἐστὶν, Ἀφροδίτης μὴ παρούσης, B ἣν εἴληχε θεραπεύειν ἐκ θεῶν ϗ περιέπειν, τιμῆς τε μετέχειν καὶ δυνάμεως ὅσον ἐκείνη δίδωσιν; εἰ δ' ἔστι τις Ἔρως χωρὶς Ἀφροδίτης, ὥσπερ μέθη χωρὶς οἴνου πρὸς σύκινον πόμα ϗ κρίθινον, ἄκαρπον αὐτοῦ ϗ ἀτελὲς τὸ ταρακτικόν ἐστι, ϗ πλήσμιον ϗ ἀψίκορον.

ϛʹ. Λεγομένων τούτων ὁ Πεισίας ἦν δῆλος ἀγανακτῶν καὶ παροξυνόμενος ἐπὶ τὸν Δαφναῖον· μικρὸν δὲ αὐτοῦ καταλιπόντος, Ὦ Ἡράκλεις, ἔφη, τῆς εὐχερείας ϗ θρα-

A. 11. παιδικῶν] Legendum, παιδικῷ.

pudore et metu compulsus: cumque opus ei sit aliqua præscriptione honesta, dum formosos consectatur, culpam amicitiæ ac virtutis prætextu velat. Itaque in pulvere versatur, frigida lavit, supercilium attollit, philosophari se ait et pudicitiam servare foris, legis scilicet metu: at noctu et per otium

Pomum remoto dulce custode aripit.

Si vero, ut Protogenes ait, non est puerilis Amoris communicatio rei venereæ, quomodo Amor est, Venere absente, quam ut colat Amor a Diis sortitus est, qui honorem et vim tantam omnino nanciscitur, quantam illa tribuit? Sin est Amor sine Venere, tanquam ebrietas sine vino e ficulneo aut hordaceo potu, is sine fructu et effectu turbabit fastidiosusque erit.

VI. Hæc dum dicerentur, præ se ferebat haud obscure Pisias, succensere se Daphnæo, et ejus sermonem iniquius ferre. Cumque is paululum conticuisset, Proh Hercules, inquit Pisias, levitatem

ντὸς ἀνθρώπους ὁμολογοῦντας ὥσπερ οἱ κύνες ἐκ μο- συνηρτῆσθαι, πρὸς τὸ θῆλυ μεθιστάναι καὶ μετοικί- τὸν θεόν, ἐκ γυμνασίων καὶ περιπάτων καὶ τῆς ἐν ἡλίῳ αέρος καὶ ἀναπεπταμένης διατριβῆς εἰς μακελεῖα καὶ ίδας καὶ φάρμακα καὶ μαγεύματα καθειργνύμενον ἀκο- ῶν γυναρίων· ἐπεὶ ταῖς γε σώφροσιν οὔτε ἐρᾶν οὔτε θαι δή που προσῆκόν ἐστιν. Ἐνταῦθα μέντοι καὶ ὁ ὴρ ἔφη τοῦ Πρωτογένους ἐπιλαβέσθαι καὶ εἰπεῖν,

Τόδ' ἐξοπλίζει τοὔπος Ἀργείων λεών,

Δία, Δαφναίῳ συνδίκους ἡμᾶς προστίθησιν οὐ με- ζων ὁ Πεισίας, ἀλλὰ τοῖς γάμοις ἀνέραστον ἐπάγων ἄμοιρον ἐνθέου φιλίας κοινωνίαν, ἣν τῆς ἐρωτικῆς πει- καὶ χάριτος ἀπολιπούσης, μονονοὺ ζυγοῖς καὶ χαλι- ὑπ' αἰσχύνης καὶ φόβου μάλα μόλις συνεχομένην ἦν. Καὶ ὁ Πεισίας, Ἐμοὶ μέν, εἶπεν, ὀλίγον μέλει όγου· Δαφναῖον δὲ ὁρῶ ταυτὸν πάσχοντα τῷ χαλ- ῷ γὰρ ἐκεῖνος οὐχ οὕτως ὑπὸ τοῦ πυρὸς, ὡς ὑπὸ

laciam! hominesne e pro- marem cum femina pu- s canum more devincire? norem e gymnasiis, am- ionibus, et sub dio pura : aperta conversatione tra- e atque includere in ma- cultellos, medicamenta, icia lascivarum mulie- Nam pudicæ quidem : amare convenit, neque . Hoc loco pater aiebat se ıgene apprehenso dixisse,

verba Achivum populum ad arma jam vocant:

etenim, per Jovem, Pisias facit ut Daphnæi caussæ me adjungam, modum ille excedens, et nuptialis Amoris divinitusque insitæ amicitiæ societatem e matrimonio tollens: quæ si amatoria suadela et gratia privetur, quantum videmus jugis et frenis a pudore et metu ægre continebitur. Non magnæ mihi curæ est, aiebat Pisias, hæc caussa. Daphnæum quidem video perinde atque æs affici: nam et æs non ita facile ab igni,

τοῦ πεπυρωμένου χαλκοῦ καὶ ῥέοντος, ἂν ἐπιχέῃ τις, ἀνατήκεται καὶ ῥεῖ συνεξυγραινόμενος· καὶ τοῦτον οὐκ ἐνοχλεῖ τὸ Λυσάνδρας κάλλος, ἀλλὰ συνδιακεκαυμένῳ καὶ γέμοντι πυρὸς. δ. πολὺν χρόνον ὁ πλησιάζων καὶ ἁπτόμενος ἀναπίμπλαται· καὶ δῆλός ἐστιν, εἰ μὴ ταχὺ φύγοι E
πρὸς ἡμᾶς, συντακησόμενος. Ἀλλ' ὁρῶ, εἶπε, γινόμενον ὅπερ ἂν μάλιστα ἐσπούδασεν Ἀνθεμίων, προσκρούοντα τοῖς δικασταῖς καὶ ἐμαυτόν· ὥστε παύομαι. Καὶ ὁ Ἀνθεμίων, Ὤνησας, εἶπεν, ὡς ἔδει γε ἀπ' ἀρχῆς λέγειν τι πρὸς τὴν ὑπόθεσιν.

ζ'. Λέγω τοίνυν, ὁ Πεισίας ἔφη, προκηρύξας ἐμοῦ γε ἕνεκα πάσαις γυναιξὶν ἐραστὴν, ὅτι τοῦ γυναικὸς ὁ πλοῦτος ἐστὶ φυλακτέος τῷ νεανίσκῳ, μὴ συμμίξαντες αὐτὸν ὄγκῳ καὶ βάρει τοσούτῳ, λάθωμεν ὥσπερ ἐν χαλκῷ κασσίτερον ἀφανίσαντες. Μέγα γὰρ ἂν ἐλαφρᾷ γυναικὶ καὶ λι-

D. 10. πυρὸς. δ. πολὺν χρόνον ὁ] Ita reliqui, quando Ald. Baſ. B. E. item habebant. Xyl. cum Leonic. Schott. ex δ. fecit διά. Mez. rectius ἤδη: poſſis et τῷδε *huic* corrigere. Mox ὁ delendum.
E. 4. καὶ ἐμαυτόν] καὶ delendum cum Mez. ἐμαυτὸν dedi ex eodem et E.
E. 5. ὡς ἔδει γε] Forte, ὅμως ἔδει σε.

ut a fluente et ignito ære, ſi quis affundat, colliquatur emollitumque fluit: et hunc non perturbat Lyſandræ pulchritudo: ſed cum hocce (Plutarcho) jam peruſto et ignis pleno dudum degens, ejus contagio afficitur; neque obſcurum eſt, niſi celeriter ad nos confugiat, colliquatum hominem iri. Interim video id fore, quod maximo opere effectum vellet Anthemio, ut offendam arbitros et me ipſum: itaque deſino. Sane hoc ad rem conducit, aiebat Anthemio, nam ab initio ſtatim aliquid de propoſito argumento dicendum fuerat.

VII. Hic Piſias, Dico igitur, proclamans, Bacchoni per me quidem licere omnes amare mulieres, cavendum ei eſſe ab Iſmenodoræ divitiis: ne, dum eum in tantum faſſum molemque admiſcemus, imprudentes tanquam in ære ſtannum aboleamus. Magnum enim eſt, ſi adoleſcente cum muliere tenui et humili

μειρακίῳ συνελθόντος εἰς ταυτὸν, ἡ κρᾶσις οἴνου δίκην ρατήσει· ταύτην δὲ ὁρωμένην ἄρχειν καὶ κρατεῖν δο-κεῖν· οὐ γὰρ ἂν ἀπορρίψασα δόξας καὶ γένη τηλικαῦτα λούτους, ἐμνᾶτο μειράκιον ἐκ χλαμύδος, ἔτι παιδα-γωγεῖσθαι δεόμενον. Ὅθεν οἱ νοῦν ἔχοντες αὐτοὶ περιϊέντας περικόπτουσιν, ὥσπερ ὠκύπτερα, τῶν γυναικῶν τὰ πε-ρ χρήματα, τρυφὰς ἐμποιοῦντα καὶ χαυνότητας ἐκ-ήους καὶ κιλίους, ὑφ᾽ ὧν ἐπαιρόμεναι πολλάκις ἀποπέ-αι· κἂν μείνωσι, χρυσαῖς, ὥσπερ ἐν Αἰθιοπίᾳ, πέ-δαις δεδέσθαι βέλτιον ἢ πλούτῳ γυναικός.

ή. Ἐκεῖνα δὲ οὐ λέγεις, Πρωτογένης εἶπεν, ὅτι κιν-υόμενον ἀναστρέφειν ἀτόπως καὶ γελοίως τὸν Ἡσίοδον, ἂν ίνου λόγος,

Μήτε τριήκοντ᾽ ὢν ἐτέων μάλα πόλλ᾽ ἀπολείπων,

τὰ περιττὰ] Non dubitavi reponere quod manifestum est et monitum a Salm. et Reisk. Vulgo, τὰ περὶ τά. Paulo ante ἡ κρᾶσις est ex E. Mez. pro vulgato εἰ κρᾶσις.

ἐκβεβαίως καὶ κιλίως] Corrupta puto: nec aliorum nec meæ mihi placent correctiones. Pro κιλίως B. E. κελίως. Mez. κιλλσίως. Jun. κιλικίως. Reisk. χαυνότητας ἐμβεβαιοῦντα καὶ κιβδηλίας, quorum ultimum non ineptum. Toup. Ep. Crit. p. 108.

οὐ λέγεις, Πρωτογένης εἶπεν] Ita reposui cum versione Xyl. flagitante sensu. Vulgo, οὐ λέγει Πρωτογένης, εἶπεν.

unсto, masculus sexus, ut m aqua dilutum, antecel- Atqui hæc imperatura et rior est futura, quantum ret: non enim alias pro- gloria tanta, et nobilitate ris, atque opibus, ambi- t adolescentulum chla- e etiamnum indutum, et dhuc pædagogis sit opus. ue ii qui sapiunt, ipsi, tan n alas, mulierum præci- nimias divitias, quæ eas ita inanes faciunt et leves, ut sæpe avolent. Alioqui præstat aureis compedibus ligatum manere, quod fit in Æthiopia, quam divitiis uxoriis.

VIII. Hoc vero non dicis, aiebat Protogenes, inepte et ridicule Hesiodi præceptum a nobis inverti? siquidem is dixit:

Tum tibi conjugii maturæ fœdus initur,
Cum triginta annos, vel paulo plusve minusve

Μήτ' ἐπιθεὶς μάλα πολλά· γάμος δέ τοι ὥριος οὗτος.
Ἡ δὲ γυνὴ τέτορ' ἡβώη, πέμπτῳ δὲ γαμοῖτο·

σχεδὸν ἡμεῖς οὕτοι τοσούτοις γυναικὶ πρεσβυτέρᾳ καθάπερ οἱ φοίνικες ἢ σῦκα * καὶ ἄωρον ἄνδρα προσάψομεν. Ἐρᾷ γὰρ αὐτοῦ, νὴ Δία, καὶ κάεται· τίς οὖν ὁ κωλύων ἐστὶ κω- B
μάζειν ἐπὶ θύρας, ᾄδειν τὸ παρακλαυσίθυρον, ἀναδεῖν τὰ εἰκόνια, παγκρατιάζειν πρὸς τοὺς ἀντεραστάς; ταῦτα γὰρ Ἐρωτικά· καὶ καθὸ αἴσθηται ὀφρὺς, καὶ παυσάσθω τρυφῶσα, καὶ σχῆμα λαβοῦσα τὴν τοῦ πάθους οἰκείαν. Εἰ δὲ αἰσχύνεται καὶ σωφρονεῖ, κοσμίως οἴκοι καθήσθω περιμένουσα τοὺς μνωμένους καὶ σπουδάζοντας· ἐρᾶν δὲ φάσκουσαν γυναῖκα φυγεῖν τις ἂν ἔχοι καὶ βδελυχθείη, μήτι γε λάβοι γάμου ποιησάμενος ἀρχὴν τὴν τοιαύτην ἀκρασίαν.

θ'. Παυσαμένου δὲ τοῦ Πρωτογένους, Ὁρᾷς, εἶπεν ὁ πα-

A. 9. οὗτοι τοσούτοις—προσάψομεν] Primum mutem in τοῦτον τοσούτῳ. Alterum difficilius sanatu: forte, καθάπερεὶ φοίνικι συκάμινον, ἄωρον ἄνδρα π.

B. 4. καθὸ αἴσθηται—λαβοῦσα—φυγεῖν τις ἂν ἔχοι] Corrigo, καθείσθω ἡ ὀφρὺς—λαβέτω—φύγοι τις νοῦν ἔχων.

B. 10. ὁ πατὴρ—βοηθήσων] Prius additum ex E. Reliqua ita corrigenda—κοινὴν ποιῆσαι—οὐδὲ φεύγουσιν τ. π. γάμον ε. χ.—ἄμυνε σὺ δ. π. αὐτὸς ἐρῶν, ἔτι δ. τ. πλ. βοήθησον.

Implevis vitæ: quatuor quater, aut
super unum
Nata annos nubat.—

nos totidem fere majori natu mulieri tanquam palmulas et ficus * et immaturum virum applicabimus. Amat, dices, eum, et uritur. Quid vero prohibet, quin comessatum ad fores ejus ipsa eat, cantet carmen quod a fletu ad januam vocatur paraklausithyrum, imagunculas sertis ornet, omni conatu cum rivalibus decertet: hæc enim Amatoria sunt; tum supercilium demittatur, luxu abstineat, et formam induat huic morbo convenientem. Si vero pudet et casta est, domi desideat modeste, exspectetque procos, et studia ambientium ejus nuptias. Mulierem quidem amare profitentem quis non fugiat et abominetur, metuens ne impudicitiam hanc faciat sui matrimonii principium?

IX. Postquam loqui desiit Protogenes, Videsne, inquit pater, mi Anthemio, rursum

τὴν, ὦ Ἀνθεμίων, ὅτι πάλιν κοινὴν ποιοῦσι τὴν ὑπόθεσιν καὶ τὸν λόγον, ἀναγκαῖον ἡμῖν τοῖς οὐκ ἀρνουμένοις, οὐδὲ φεύγουσι τοῦ περὶ γάμον Ἔρωτος εἶναι χορευταῖς; Καὶ, νὴ μὰ Δία, εἶπεν ὁ Ἀνθεμίων, ἀμύνει διὰ πλειόνων νῦν αὐτὸς ἐρῶν· εἰ δὲ τῷ πλούτῳ βοηθήσων, ᾧ μάλιστα δεδίττεται Πεισίας ἡμᾶς. Τί δὲ, εἶπεν ὁ πατὴρ, οὐκ ἂν ἔγκλημα γένοιτο γυναικὸς, εἰ δι' ἔρωτα καὶ πλοῦτον ἀποῤῥίψομεν Ἰσμηνοδώραν, βαρεῖα γὰρ καὶ πλουσία· τί δὲ εἰ καλὴ καὶ νέα; τί δὲ εἰ γένει σοβαρὰ, καὶ ἔνδοξος; αἱ δὲ σώφρονες οὐδὲ αὐστηρὸν καὶ κατεῤῥυπωμένον ἐπαχθὲς, * καὶ δυσκαρτέρητον ἔχουσι, καὶ ποίνας καλοῦσιν αὐτὰς, καὶ τοῖς ἀνδράσιν ὀργιζομένας, ὅτι σωφρονοῦσιν; Ἆρα οὖν κράτιστον ἐξ ἀγορᾶς γαμεῖν Ἀβρότονόν τινα Θρῇσσαν, ἢ Βακχίδα Μιλησίαν ἔγγυον ἐπαγομένην δι' ὠνῆς κατεσ-

C. 7. εἰ καλὴ—εἰ γένει—ποίνας—] εἰ—εἰ—ex Leonic. Schott. Anon. T. V. B. Tum legendum κατεῤῥυπωμένον ἐπαχθὲς πολλάκις καὶ δυσκ. ἔχουσι καὶ ποίνας. Conf. p. 142. A. ποίνας est in Ald. Baſ. Xyl. Ab initio item cum Mez. legam: βαρεῖα γὰρ ἡ πλουσία.

D. 2. δι' ὠνῆς—Ἀγαθοκλεία] Forte, κατλυμάτων. B. E. δι' ὠνῆς καὶ κατεστυμάτων: locum non expedio. Ἀριστονίκα ex B. E. Xyl. Mez. pro Ἀριστωίσα. Ἀγαθοκλεία e Xyl. pro Ἀγαθοκλία.

eos cauſſam et materiem orationis communem ac neceſſariam facere nobis, qui non negamus, neque fugimus, quin conjugialis Amoris in choro ſimus. Et profecto per Jovem, inquit Anthemio, defende Amorem longiore oratione, quippe ipſe amans: præterea adverſus objectionem de divitiis eſt agendum, qua maxime terret Piſias. Tum pater meus iſta dixit. Quid tandem non dabitur mulieri vitio, ſi propter amorem et divitias Iſmenodoram rejiciamus? Eſto enim imperioſa et dives: quid formoſæ et juvenculæ faciemus? quid nobilitate ſua ſuperbienti et illuſtri? Pudicæ vero nonne auſteritatem, moleſtam et intolerabilem habent, dicunturque Furiæ, quia præ pudicitia maritis iratæ ſunt? Nonne igitur optimum eſt e foro nuptum ducere Abrotonum aliquam Thracicam, aut Bacchidem Mileſiam, quæ eo ipſo quod emitur, ſpondeat ſe

συμμάτων; Ἀλλὰ καὶ ταύταις ἴσμεν οὐκ ὀλίγους αἴσχιστα δουλεύσαντας· αὐλητρίδες δὲ Σάμιαι καὶ ὀρχηστρίδες, Ἀριστονίκα καὶ τύμπανον ἔχουσα Οἰνάνθη καὶ Ἀγαθόκλεια διαδήμασι βασιλέων ἐπέβησαν. Ἡ δὲ Σύρα Σεμίραμις οἰκότριβος μὲν ἦν βασιλικοῦ θεράπαινα παλλακευομένη· Νίνου δὲ τοῦ μεγάλου βασιλέως ἐντυχόντος αὐτῇ καὶ στέρξαντος οὕτως ἐκράτησε καὶ κατεφρόνησεν, ὥστε ἀξιῶσαι καὶ μίαν ἡμέραν αὐτὴν περιιδεῖν ἐν τῷ θρόνῳ καθεζομένην, ἔχουσαν τὸ διάδημα καὶ χρηματίζουσαν· δόντος δὲ ἐ- E
κείνου, καὶ κελεύσαντος πάντας ὑπηρετεῖν ὥσπερ αὐτῷ καὶ πείθεσθαι, μετρίως ἐχρῆτο τοῖς πρώτοις ἐπιτάγμασι, πειρωμένη τῶν δορυφόρων· ἐπεὶ δὲ ἑώρα μηδὲν ἀντιλέγοντας μηδὲ ὀκνοῦντας, ἐκέλευσε συλλαβεῖν τὸν Νίνον, εἶτα δῆσαι, τέλος δὲ ἀποκτεῖναι· πραχθέντων δὲ πάντων, ἐβασίλευσε τῆς Ἀσίας ἐπιφανῶς πολὺν χρόνον. Ἡ δὲ Βελεστίχη, πρὸς Διός, οὐ βάρβαρον ἐξ ἀγορᾶς F
γύναιον, ἧς ἱερὰ καὶ ναοὺς Ἀλεξανδρεῖς ἔχουσιν ἐπιγρά-

obedientem viro fore? Sed tamen et harum nonnullis novimus viros turpiſſime ſerviviſſe: quando etiam tibicinæ Samiæ et ſaltatrices, Ariſtonica et tympanum gerens Œnanthe atque Agathoclia, regiis diadematibus inſultaverunt. Semiramis Syra ancilla fuit famuli regii, et pellex, quam cum Ninus rex ille magnus congreſſus dilexiſſet, adeo ſubegit eum atque contemſit mulier, ut poſtulaverit etiam ab eo concedi ſibi, uti per unum diem ipſa in ſolio regio ſederet, daretque mandata: quod ubi rex conceſſit, imperavitque univerſis, ut Semiramidi perinde atque ſibi obtemperarent et juſſa capeſſerent; principio ea ſtipatorum pertentans animos moderate quædam juſſit; at poſtquam vidit eos nihil refragari, alacriterque obire mandata, capere eos Ninum, mox vincire, tandem necare juſſit: quibus factis, ipſa regnum Aſiæ ſplendide per multos annos geſſit. Beleſtia vero, dii boni, nonne barbara et emta mulier fuit? cujus templa et fana Alexandrini habent, Veneris

φαντος δι' ἔρωτα τοῦ βασιλέως, Ἀφροδίτης Βελεστίχης; Ἡ δὲ σύνναος μὲν ἐνταῦθοι καὶ συνιερὸς τοῦ Ἔρωτος ἐν Δελφοῖς, κατάχρυσος δ' ἑστῶσα μετὰ τῶν βασιλέων καὶ βασιλειῶν, ποίᾳ προικὶ τῶν ἐραστῶν ἐκράτησεν; Ἀλλ', ὥσπερ ἐκεῖνοι δι' ἀσθένειαν ἑαυτῶν καὶ μαλακίαν ἔλαθον γενόμενοι λεία γυναικῶν, οὕτω πάλιν ἄδοξοι καὶ πένητες
154 ἕτεροι πλουσίαις γυναιξὶ καὶ λαμπραῖς συνελθόντες, οὐ διεφθάρησαν, οὐδ' ὑφῆκάν τι τοῦ φρονήματος, ἀλλὰ τιμώμενοι καὶ κρατοῦντες μετ' εὐνοίας συγκατεβίωσαν. Ὁ δὲ συστέλλων τὴν γυναῖκα, καὶ συνάγων εἰς μικρὸν, ὥσπερ δακτύλιον, ἴχνος, ὡς μὴ περιῤῥυῇ δεδιὼς, ὅμοιός ἐστι τοῖς ἀποκείρουσι τὰς ἵππους, εἶτα πρὸς ποταμὸν καὶ λίμνην ἄγουσι· καθορῶσαν γὰρ ἑκάστην τὴν εἰκόνα τῆς ὄψεως ἀκαλλῆ καὶ ἄμορφον, ἀφιέναι τὰ φρυάγματα λέγεται, καὶ προσδέχεσθαι τὰς τῶν ὄνων ἐπιβάσεις. Πλοῦτον δὲ γυναικὸς

F. 3. βασιλέως, Ἀφροδίτης] Vulgo, βασιλέως, καὶ Ἀφροδίτης, quod Steph. sumsit a Leonic. Schott. delevi καὶ cum B. E. Mez. ejus loco ἢ habet Xyl. Ald. Baf.

F. 4. ἐν Δελφοῖς, κατάχρυσος δ'] Lego, ἐν Δελφοῖς δὲ κατάχρυσος ——.

A. 4. ὥσπερ δακτύλιον, ἴχνος;] Corrigo, ὥσπερ δακτύλιον δακτύλου ἰσχνοῦ.

Belestiæ nomine, ob amorem rege id permittente. Quæ vero hic communi cum Cupidine templo et sacris fruitur, aureaque stat Delphis juxta reges et reginas, Phryne, quanam dote suos subegit amatores? Verum sicut isti ob suam imbecillitatem et mollitiem imprudentes mulierum præda sunt facti, ita rursum alii ignobiles atque pauperes ductis divitibus splendidisque uxoribus, corrupti non sunt, neque de animi magnitudine quicquam dimiserunt, sed honorati et imperantes ipsi amice cum iis vixere. Qui vero uxorem in arctum cogit et comprimit, veluti annulum digito ob gracilitatem alias delapsurum, similis est eorum qui equas tondent, et deinde ad fluvium vel lacum adducunt: nam suam formam conspicientes fœdatam, ferociam dicuntur amittere, ac pati porro ab asinis se conscendi. Illi-

αἱρεῖσθαι μὲν περὶ ἀρετῆς ἢ γένους, ἀφιλότιμον καὶ ἀνελεύθερον· ἀρετῇ δὲ καὶ γένει προσόντα φεύγειν ἀβέλτερον. B
Ὁ μὲν γὰρ Ἀντίγονος ὠχυρωμένῳ τὴν Μουνυχίαν τῷ φρουροῦντι γράφων ἐκέλευε ποιεῖν μὴ μόνον τὸν κλοιὸν ἰσχυρὸν, ἀλλὰ καὶ τὸν κύνα λεπτὸν, ὅπως ὑφαιρῇ τὰς εὐπορίας τῶν Ἀθηναίων· ἀνδρὶ δὲ πλουσίας ἢ καλῆς οὐ προσήκει μηδὲ τὴν γυναῖκα ποιεῖν ἄμορφον ἢ πενιχράν, ἀλλ' ἑαυτὸν ἐγκρατείᾳ καὶ φρονήσει, καὶ τῷ μηδὲν ἐκπεπλῆχθαι τῶν περὶ ἐκείνην, ἴσον παρέχειν καὶ ἀδούλωτον, ὥσπερ ἐπὶ ζυγοῦ ῥοπὴν τῷ ἤθει προστιθέντα καὶ βάρος, ὑφ' οὗ κρατεῖται καὶ ἄγεται, καὶ ὡς ἅμα συμφερόντως. C
Καὶ μὴν ἡλικίᾳ γε πρὸς γάμον καὶ ὥρᾳ τὸ τίκτειν ἔχουσα καὶ τὸ γεννᾷν εὐάρμοστός ἐστιν· ἀκμάζειν δὲ τὴν γυναῖκα πυνθάνομαι· (καὶ ἅμα τῷ Πεισίᾳ προσμειδιάσας,) Οὐδενὸς γὰρ (ἔφη) τῶν ἀντεραστῶν πρεσβυτέρα, οὐδ' ἔχει πολιάς, ὥσπερ ἔνιοι τῶν Βάκχωνι προσαναχρωννυμένων. Εἰ δὲ

C. 1. καὶ ὡς ἅμα] Forte, καλῶς ἅμα καί—.

berale eſt divitias uxoris virtute aut genere antiquiores ducere: junctas autem his rebus averſari, ſtultum. Antigonus præfecto muniendæ Munychiæ ſcribens, jubebat non modo millum facere validum, ſed et ipſum canem macerare: nimirum ut Athenienſium opes attereret. At marito divitis vel formóſæ mulieris non convenit, ut eam deformem pauperemve reddat: ſed ut ſeipſum continentia ac prudentia, nihilque eorum quæ uxor habet ſtupendo, æqualem ei ſuique juris præſtet, moribuſque ſuis veluti in trutina pondus momentumque ſibi paret, quo uxorem deprimat et ſibi obtemperantem habeat, ſimul utiliter et honeſte. Quinetiam ætate Iſmenodora ad nuptias idonea eſt, ut quæ parere poſſit: audio enim in ipſo eam nunc ætatis vigore eſſe: (ſimulque ad Piſiam arridens) Nullo enim (aiebat) rivalium grandior natu eſt, neque canos habet, ut nonnulli eorum qui Bacchonem adſectantur: quorum ſi tempeſtiva

αὐτῇ καθ' ὥραν ὁμιλοῦσι, τί κωλύει κἀκείνην ἐπιμε-
ληθῆναι τοῦ νεανίσκου βέλτιον ἢ συνιοῦσαν νέας; δύσμικτα γὰρ
τὰ νέα καὶ δυσκέραστα, καὶ μόλις ἐν χρόνῳ πολλῷ τὸ φρύ-
αγμα καὶ τὴν ὕβριν ἀφίησιν, ἐν ἀρχῇ δὲ κυμαίνει καὶ ζυγο-
D μαχεῖ καὶ μᾶλλον ἂν Ἔρως ἐγγένηται, καὶ, καθάπερ πνεῦ-
μα κυβερνήτου μὴ παρόντος, ἐτάραξε καὶ συνέχεε τὸν γάμον
οὔτε ἄρχειν δυναμένων οὔτε ἄρχεσθαι βουλομένων. Εἰ δὲ ἄρ-
χει βρέφους μὲν ἡ τίτθη, καὶ παιδὸς ὁ διδάσκαλος, ἐφήβου
δὲ γυμνασίαρχος, ἐραστὴς δὲ μειρακίου, γενομένου δὲ ἐν ἡλι-
κίᾳ νόμος καὶ στρατηγὸς, οὐδεὶς δὲ ἄναρκτος, οὐδὲ αὐτοτε-
λὴς, τί δεινὸν εἰ γυνὴ νοῦν ἔχουσα πρεσβυτέρα κυβερνήσει νέου
βίον ἀνδρός· ὠφέλιμος μὲν οὖσα τῷ φρονεῖν μᾶλλον, ἡδεῖα
δὲ τῷ φιλεῖν καὶ προσηνής; Τὸ δὲ ὅλον, ἔφη, καὶ τὸν Ἡρα-
κλέα Βοιωτοὺς ὄντας ἔδει σέβεσθαι, καὶ μὴ δυσχεραίνειν τῷ
E παρ' ἡλικίαν τοῦ γάμου, γινώσκοντας ὅτι κἀκεῖνος τὴν ἑαυτοῦ
γυναῖκα Μεγάραν Ἰολάῳ συνῴκισεν ἑκκαιδεκαέτει τότε
ὄντι τρία καὶ τριάκοντα ἔτη τότε γεγενημένην.

habetur consuetudo, quid impedit, quin ipsa quoque adolescentem tractare possit melius, quam quævis juvencula? Difficulter enim commiscentur juvenes, et vix longo temporis decursu ferociam libidinemque exuunt: initio æstuant et jugum detrectant, maxime autem si quis amor exsistat, is, sicut ventus gubernatore absente navem, facile matrimonium conturbat atque confundit, cum juvenes invicem regere et parere non possint. Jam si nutrix infantem, puerum magister, ephebum gymnasii præfectus, amator amasium, adultum lex et prætor regit, ac nemo sui prorsus juris, et omnis imperii immunis est: quid mali habet res, si cordata mulier ætate minoris mariti juvenis gubernet vitam, utilis, quia prudentia eum superet, suavis autem et grata amando futura? In summa vero venerari nos, qui Bœoti sumus, Herculem decet, et matrimonio ætate inæqualium non esse iniquos, cum sciamus, hunc Megaram uxorem suam annos natam tres supra triginta Iolao nuptum dedisse, annum tunc agenti sextum supra decimum.

Ι. Τοιούτων λόγων, ὁ πατὴρ ἔφη, παρόντων αὐτοῖς,
ἐλθεῖν τοῦ Πεισίου ἑταῖρον ἐκ πόλεως ἵππῳ θέοντα,
πρᾶγμα θαυμαστὸν ἀπαγγέλλοντα τετολμημένον. Ἡ
γὰρ Ἰσμηνοδώρα αὐτὸν μὲν, ὡς ἔοικεν, οὐκ ἀηδῶς
ἔχειν οἰομένη τὸν Βάκχωνα πρὸς τὸν γάμον, αἰσχύνεσθαι
δὲ τοὺς ἀποτρέποντας, ἔγνω μὴ προέσθαι τὸ μειράκιον·
τῶν οὖν φίλων τοὺς μάλιστα τοῖς βίοις νεαροὺς καὶ συν- F
ερῶντας αὐτῇ. καὶ τῶν γυναικῶν τὰς συνήθεις μετα-
πεμψαμένη καὶ συγκροτήσασα, παρεφύλαττε τὴν ὥραν
ἣν ὁ Βάκχων εἶχεν ἀπιὼν εἰς παλαίστραν παρὰ τὴν οἰκίαν
αὐτῆς παρεξιέναι κοσμίως· ὡς οὖν τότε προσῄει μετὰ
δυοῖν ἢ τριῶν ἀληλιμμένος, αὐτὴ μὲν ἐπὶ τὰς θύρας
ἀπήντησεν ἡ Ἰσμηνοδώρα, καὶ τῆς χλαμύδος ἔθιγε μό-
νον, οἱ δὲ φίλοι καλὸν καλῶς ἐν τῇ χλαμύδι καὶ τῇ δι-
βολίᾳ συναρπάσαντες, εἰς τὴν οἰκίαν παρήνεγκαν ἀθ-
ρόοι, καὶ τὰς θύρας εὐθὺς ἀπέκλεισαν· ἅμα δὲ αἱ μὲν 755
γυναῖκες ἔνδον αὐτοῦ τὸ χλαμύδιον ἀφαρπάσασαι περιέ-

F. 1. συνερῶντας] An συνεαρίζοντας ?

X. Dum hæc illi inter ſe colloquuntur, Piſiæ ſocius (ſic enim narrabat pater) equo citato ex urbe venit, mirum renuncians, audaxque facinus. Etenim Iſmenodora exiſtimans, ut erat probabile, ipſum Bacchonem neutiquam a nuptiis abhorrere, tantum eos vereri qui dehortabantur; ſtatuerat adoleſcentem non dimittere. Itaque accitis qui amicorum maxime erant audaces, ejuſque amori favebant, et mulieribus familiaribus, re cum iis compoſita, horam exſpectavit, qua Baccho erat in palæſtram præter domum ipſius iturus. Qui ut eo venit unctus, duobus aut tribus comitantibus, ipſa ſub fores ei occurrit Iſmenodora, et chlamydem modo ejus attigit: amici autem pulchrum pulchre in chlamyde ipſa et læna arreptum frequentes intra domum pertulerunt, ſtatimque fores occluſerunt. Simul et mulieres intus Bacchoni chlamydem deripuerunt, et nup-

βαλον ἱμάτιον νυμφικόν· οἰκέται δὲ περικύκλῳ δραμόντες, ἀνέστεφον ἐλαίᾳ καὶ δάφνῃ τὰς θύρας οὐ μόνον τὰς τῆς Ἰσμηνοδώρας, ἀλλὰ καὶ τὰς τοῦ Βάκχωνος· ἡ δὲ αὐλητρὶς αὐλοῦσα διεξῆλθε τὸν στενωπόν. Τῶν δὲ Θεσπιέων καὶ τῶν ξένων οἱ μὲν ἐγέλων, οἱ δὲ ἠγανάκτουν καὶ τοὺς γυμνασιάρχους παρώξυνον· ἄρχουσι γὰρ ἰσχυρῶς τῶν ἐφήβων, καὶ προσέχουσι τὸν νοῦν σφόδρα τοῖς ὑπ' αὐτῶν πραττομένοις· ἦν δὲ λόγος οὐδεὶς τῶν ἀγωνιζομένων,
B ἀλλ' ἀφέντες τὸ θέατρον ἐπὶ τῶν θυρῶν τῆς Ἰσμηνοδώρας, ἐν λόγοις ἦσαν καὶ φιλονεικίαις πρὸς ἀλλήλους.

ια΄. Ὡς οὖν ὁ τοῦ Πεισίου φίλος ὥσπερ ἐν πολέμῳ προσελάσας τὸν ἵππον αὐτὸ τοῦτο τεταραγμένως εἶπεν, ὅτι Βάκχωνα ἥρπασεν Ἰσμηνοδώρα, τὸν μὲν Ζεύξιππον ὁ πατὴρ ἔφη γελάσαι καὶ εἰπεῖν, ἅτε δὴ καὶ φιλευριπίδην ὄντα,

Πλούτῳ χλιδῶσα, θνητὰ δὴ γύναι φρονεῖς·

B. 8. θνητὰ δὴ γύναι] Ita cum Xyl. pro vulgato θνητὰ δὲ γύναι. Forte verum sit, θνητά γ' ὦ γύναι. B. E. quidem habent ὦ.

tialem injecerunt vestem: servi autem circumcursitantes olea lauroque fores non Ismenodoræ modo, sed Bacchonis etiam redimiverunt: et tibicina canens per vicum transivit. Thespiensium vero et hospitum alii risere, alii indignati sunt, ac gymnasio præfectos instigaverunt, quorum est validum in ephebos imperium, et valde diligenter attendunt eorum facta: sed qui certabant, nihil istos morati, theatro relicto, ad fores Ismenodoræ accurrerunt, ibique inter se collocuti et altercati sunt.

XI. Postquam ergo Pisiæ amicus tanquam in bello advenit concitati equi cursu, idque ipsum perturbate renunciavit, raptum esse ab Ismenodora Bacchonem; Zeuxippum aiebat pater risisse, utque erat Euripidis studiosus, versum hunc pronunciasse,

Luxurians opibus, more hominum mulier agit:

τὸν δὲ Πεισίαν ἀναπηδήσαντα βοᾶν, Ὦ θεοί, τί πέρας ἔσται τῆς ἀνατρεπούσης τὴν πόλιν ἡμῶν ἐλευθερίας; ἤδη γὰρ εἰς ἀνομίαν τὰ πράγματα διὰ τῆς αὐτονομίας βαδίζει· καίτοι γελοῖον ἴσως ἀγανακτεῖν περὶ νόμων καὶ C δικαίων, ἡ γὰρ φύσις παρανομεῖται γυναικοκρατουμένη· τί τοιοῦτον ἡ Λῆμνος; ἴωμεν ἡμεῖς, ἴωμεν, εἰπεῖν, ὅπως καὶ τὸ γυμνάσιον ταῖς γυναιξὶ παραδῶμεν καὶ τὸ βουλευτήριον, εἰ παντάπασιν ἡ πόλις ἐκνενεύρισται. Προάγοντος οὖν τοῦ Πεισίου, ὁ μὲν Πρωτογένης οὐκ ἀπελείπετο, τὰ μὲν συναγανακτῶν, τὰ δὲ πραΰνων ἐκεῖνον· ὁ δὲ Ἀνθεμίων, Νεανικὸν μέν, ἔφη, τὸ τόλμημα, καὶ Λήμνιον ὡς ἀληθῶς· αὐτοὶ γὰρ ἴσμεν· σφόδρα ἐρώσης γυναικός. Καὶ ὁ Σώκλαρος ὑπομειδιῶν, Οἴει γὰρ ἁρπαγήν, ἔφη, D γεγονέναι καὶ βιασμόν, οὐκ ἀπολόγημα καὶ στρατήγημα τοῦ νεανίσκου νοῦν ἔχοντος, ὅτι τὰς τῶν ἐραστῶν ἀγκάλας διαφυγὼν ἐξηυτομόληκεν εἰς χεῖρας καλῆς καὶ πλουσίας

C. 9. αὐτοὶ γὰρ ἴσμεν] Lego cum Mez. αὐτοὶ γὰρ ἴσμεν: itaque verti.

Piſiam vero exſilientem clamaſſe, Proh deum fidem, quis finis erit evertentis civitatem noſtram licentiæ? jam enim libertas noſtra in violationem legum excidit: quanquam ridiculum fortaſſe eſt ob leges et jus indignari, cum ipſi naturæ vis fiat, injuſte ſub mulierum redactæ imperium: quid Lemnus tale habuit? eamus nos, eamus, ut gymnaſium quoque et curiam mulieribus tradamus, ſi omnino enervata eſt civitas. Ergo præeuntem Piſiam Protogenes comitatus eſt, partim ſocius indignationis, partim eum demitigans. Anthemion autem, Audax profecto, inquit, facinus hoc eſt, et re vera Lemnium, quod inter nos dictum ſit, mulieris vehementer amantis. Tum renidens Soclarus, Putas vero, inquit, raptionem vimque factam eſſe, non defenſionem et callidum artificium aſtuti adoleſcentis, qui ex ulnis amatorum profugerit in manus pulchræ et for-

γυναικός; Μὴ λέγε ταῦτα, εἶπεν, ὦ Σώκλαρε, μηδ' ὑπονόει ἐπὶ Βάκχωνος, ὁ Ἀνθεμίων, καὶ γὰρ εἰ μὴ φύσει τὸν τρόπον ἁπλοῦς ἦν καὶ ἀφελὴς, ἐμὲ γοῦν ἀπεκρύψατο τῶν πολλῶν μεταδιδοὺς ἁπάντων, ἔν τε τούτοις ὁρῶν προθυμότατον ὄντα τῆς Ἰσμηνοδώρας βοηθόν· Ἔρωτι δὲ μάχεσθαι χαλεπὸν, οὐ θυμῷ, καθ' Ἡρά-
E κλειτον· ὅ, τι γὰρ ἂν θελήσῃ, καὶ ψυχῆς ὠνεῖται καὶ χρημάτων καὶ δόξης. Ἐπεὶ τί κοσμιώτερον Ἰσμηνοδώρας ἐν τῇ πόλει; πότε δὲ εἰσῆλθεν ἢ λόγος αἰσχρὸς, ἢ πράξεως ὑπόνοια φαύλης ἔθιγε τῆς οἰκίας; ἀλλ' ἔοικε θεία τις ὄντως εἰληφέναι τὴν ἄνθρωπον ἐπίπνοια, καὶ κρείττων ἀνθρωπίνου λογισμοῦ.

ιβ'. Καὶ ὁ Πεμπτίδης ἐπιγελάσας, Ἀμέλει καὶ σώματός τις, ἔφη, νόσος ἐστὶν, ἣν ἱερὰν καλοῦσιν· οὐδὲν οὖν ἄτοπον εἰ καὶ ψυχῆς τὸ μανικώτατον πάθος καὶ μέγιστον,

D. 6. καὶ γὰρ—πολλῶν] γὰρ additum ex B. E. cetera cum Mez. et Reisk. ita corrigenda, ἐμὲ γ' οὐκ ἂν ἀπεκρύψατο, τῶν τ' ἄλλων——.

E. 5. ἐπίπνοια] Sic B. E. Vulgo, ἐπίνοια.

E. 7. Πεμπτίδης] Sic Bas. Xyl. quo accedit fere Ald. B. E. Πεμπτίδης: hinc Leonic. Πεμπτίδιος, quod vulgavit Steph.

mosae uxoris? Noli haec, aiebat Anthemion, dicere aut suspicari de Bacchone, qui, etiamsi non fuisset natura simplex et candidus, tamen me hoc non celasset, cui et alia sua arcana credebat omnia, et sciebat me hac in re promtissimum esse Ismenodorae adjutorem. Amori autem, non irae, ut aiebat Heraclitus, repugnare difficile est, qui quod cupit, vel vita vel pecunia vel fama redimit. Nam quid modestius Ismenodora in urbe fuit? quando aut turpis de ea sermo, aut suspicio facti inhonesti de ejus domo incidit? Sed videtur profecto divino aliquo instinctu, qui humanam excedat rationem, impulsa fuisse.

XII. Ibi Pemptides arridens, Nimirum, aiebat, corporis quidam est morbus, qui sacer dicitur; ut absurdum non sit, morbum animi furiosissimum et maximum a qui-

βήθη ποιησάμενος ἀρχὴν τῆς Μελανίππης, Ζεὺς γὰρ C
οἶδα πλὴν λόγῳ, μεταλαβὼν δὲ ἐχθεὶν ἄλλον ἐθάῤῥει, ὡς ἔοικε, τῷ δράματι γεγραμμένῳ πανηγυρικῶς καὶ περιττῶς, ἤλλαξε τὸν στίχον, ὡς νῦν γέγραπται, Ζεὺς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο. Τί οὖν διαφέρει τὴν περὶ τοῦ Διὸς δόξαν ἢ τῆς Ἀθηνᾶς ἢ τοῦ Ἔρωτος εἰς ἀμφιβολίαν τῷ λόγῳ θέσθαι; ἢ καὶ ἄδηλον; οὐ γὰρ νῦν αἰτεῖ πρῶτον βωμὸν ὁ Ἔρως καὶ θυσίαν, οὐδὲ ἔπηλυς ἔκ τινος βαρβαρικῆς δεισιδαιμονίας, ὥσπερ Ἄτται τινὲς καὶ Ἀδωναῖοι λεγόμενοι, δι' ἀνδρογύνων καὶ γυναικῶν παρεισδύεται, καὶ κρύφα τιμὰς οὐ προσηκούσας καρπούμενος, ὥστε παρ- D
εισγραφῆς δίκην φεύγειν καὶ νοθείας τῆς ἐν θεοῖς. Ἀλλ' ὅταν Ἐμπεδοκλέους ἀκούσῃς λέγοντος, ὦ ἑταῖρε,

Καὶ φιλότης ἐν τοῖς ἴση μῆκός τε πλάτος τε,
Τὴν σὺ νόῳ δέρκευ, μηδ' ὄμμασιν ἧσο τεθηπώς·

C. 1. Ζεὺς—λόγῳ] λόγῳ dedi ex B. E. pro vulgato ἐγώ. Ita enim legendum, Ζεὺς ὅςις ἐςιν, οὐ γὰρ οἶδα πλὴν λόγῳ κλύων. Vid. Fragm. Eur. Musgr. T. III. p. 570.

C. 2. μεταλαβὼν—ἤλλαξε τὸν ςίχον] Forte, μεταλαβὼν δὲ ἀρχὴν ἄλλην ἐθάῤῥει—ἤλλαξέ τε τὸν ςίχον.

D. 5. σὺ νόῳ] Sic feci ex B. E. σὺν νόῳ, et alibi est ut exhibui. Vulgo, σὺν νῷ.

Melanippæ principium,

Quicunque tandem est Juppiter: nam nil scio,
Nisi famâ quod narravit:

ſumto alio principio fidens tragœdiæ, diligentiſſime et ad publicos conventus accommodate ſcriptæ, mutavit verſum, iſque nunc ſic legitur,

Qui dictus est a veritate Juppiter.

Neque vero refert, utrum de Jove vel Minerva, an vero de Amore quæ perhibentur, in dubium voces. Non enim nunc primum aram et hoſtiam Cupido exigit, neque ab aliqua barbarica ſuperſtitione advena eſt, ſicut Attæ quidam et Adonæi qui dicuntur, ab ſemimaribus et mulieribus introductus, ut libidine quadam inconvenienti fruatur, et merito tanquam ſpurius inter deos ad cauſſam dicendam citetur. Enimvero Empedoclem iſta legens, amice,

Est in eis et amor, planè quam cætera longus,
Quamque eadem latus: sed eum tu conſpice mente,
Nec stupidus frustra hunc oculorum lumine quære:

…ντα οἴεσθαι χρὴ λέγεσθαι περὶ Ἔρωτος· οὐ γάρ
… ὁρατὸς ἀλλὰ δοξαστὸς ἡμῖν ὁ θεὸς οὗτος ἐν τοῖς πά-
παλαιοῖς· ὧν ἐὰν περὶ ἑκάστου τεκμήριον ἀπαιτῇς, παν-
: ἁπλόμενος ἱερῶν, καὶ παντὶ βωμῷ σοφιστικὴν ἐπάγων
…ραν, οὐδὲν ἀσυκοφάντητον οὐδὲ ἀβασκάνιστον ἀπο-
…ψεις. Πόῤῥω γὰρ οὐκ ἄπειμι,

> Τὴν δ' Ἀφροδίτην οὐχ ὁρᾷς ὅση θεός·
> Ἡ δ' ἐστὶν ἡ σπείρουσα καὶ διδοῦσ' Ἔρον,
> Οὗ πάντες ἐσμὲν οἱ κατὰ χθόν' ἔκγονοι.

…δωρον γὰρ αὐτὴν Ἐμπεδοκλῆς, Εὔκαρπον δὲ Σοφο-
…ς, ἐμμελῶς πάνυ καὶ πρεπόντως ὠνόμασαν. Ἀλλ'
…ς τὸ μέγα τοῦτο καὶ θαυμαστὸν, Ἀφροδίτης μὲν ἔργον,
…ντος δὲ πάρεργόν ἐστιν Ἀφροδίτῃ συμπαρόντος· μὴ
…παρόντος δὲ, κομιδῇ τὸ γινόμενον ἄζηλον ἀπολείπεται
…τιμον καὶ ἄφιλον. Ἀνέραστος γὰρ ὁμιλία, καθάπερ πεῖνα
…ψα, πλησμονὴν ἔχουσα πέρας, εἰς οὐδὲν ἐξικνεῖται κα-

…, ἀβασκάνιστον] Forte natum ex duplici meliore lectione, ἀβάσκαντον et ἀβασάνιστον.

ὁρᾷς] Sic E. Mez. et auctor Euripides. Fragm. Oedip. xvii. Vulgo, ὁρῶ. Verſus nonnullos excidiſſe arbitratur Valckenarius ad Hippol. 449.

…lligendum eſt hæc de A-
… dici. Neque enim viſu
…, ſed intelligentia a nobis
…itur iſte, unus de antiquiſ-
…s: de quorum ſingulis ſi
…um indicium quæras, om-
… templa pervagans, et
…nvis aram ſophiſticum ſub
…nen vocans, nihil calum-
… et inquiſitionis relinques
…une. Ne procul abeam.

Non ego ſatis video, qualis dea ſit Venus.
Hæc eſt, quæ hominibus inſerit Cupidinem,
Cujus, quicunque terras incolimus, proles ſumus.

Venerem ſane *Zeidoron*, id eſt vitæ largitricem Empedocles, *Frugiferam* Sophocles ſcite et convenienter appellaverunt. Tamen magnum illud et admirandum opus eſt Veneris, ſed quod Amor adjuvet præſens: quo abſente, res venerea neque expetendum aliquid eſt, et omni honore et amicitia vacat. Coitus enim ſine Amore, ſicut fames et ſitis, implenda finitus cupiditate in ni-

λόν· ἀλλ' ἡ θεὸς Ἔρωτι τὸν κόρον ἀφαιροῦσα τῆς ἡδονῆς, F φιλότητα ποιεῖ καὶ σύγκρασιν. Διὸ Παρμενίδης μὲν ἀποφαίνει τὸν Ἔρωτα τῶν Ἀφροδίτης ἔργων πρεσβύτατον ἐν τῇ Κοσμογονίᾳ γράφων,

Πρώτιστον μὲν Ἔρωτα θεῶν μητίσατο πάντων·

Ἡσίοδος δὲ φυσικώτερον ἐμοὶ δοκεῖ ποιεῖν Ἔρωτα πάντων πρεσβύτατον, ἵνα πάντα δι' ἐκεῖνον μετάσχῃ γενέσεως. Ἂν οὖν τὸν Ἔρωτα τῶν νενομισμένων τιμῶν ἐκβάλλωμεν, οὐδὲ τὰ τῆς Ἀφροδίτης κατὰ χώραν μένουσιν. Οὐδὲ γὰρ τοῦτ' ἔστιν εἰπεῖν, ὅτι τῷ μὲν Ἔρωτι λοιδοροῦνταί τινες, ἀλλ' ἀπέχονται ἐκείνης· ἀλλ' ἀπὸ μιᾶς σκηνῆς ἀκούομεν,

Ἔρως γὰρ ἀργὸν κἀπὶ τοιούτοις ἔφυ·

καὶ πάλιν αὖ ὧδε,

——— οὐ Κύπρις μόνον,
Ἀλλ' ἐστὶ πολλῶν ὀνομάτων ἐπώνυμος.
Ἔστιν μὲν ᾅδης, ἔστι δ' ἄφθιτος βία,
Ἔστιν δὲ λύσσα μανιάς·

ὥσπερ οὐδὲ τῶν ἄλλων θεῶν σχεδὸν ἀλοιδόρητος οὐδεὶς

F. 2. σύγκρασιν] Sic B. E. Mez. Vulgo, σύγκρισιν.

hil pulchrum definit: sed Venus Amore fastidium abolens, amicitiam ingenerat et animos contemperat. Itaque Parmenides Amorem ostendit Veneris operum esse antiquissimum, in libro de ortu mundi sic scribens,

Ante omnes alios superos generavit Amorem.

Hesiodus autem naturæ congruentius mihi videtur Amorem facere omnium antiquissimum, ut per eum omnia nascantur. Ergo si Amorem decretis ei honoribus spoliamus, ne Veneris quidem cultus suo loco manebit: non enim hoc dici potest, quosdam Amorem conviciis exagitare, abstinere a Venere: sed ex eadem scena audiuntur hæc,

Amor otiosus est, et occupat pigros:

et rursum,

O liberi, non Cypris est tantum Cypris,
Sed plurimis respondet nominibus suis.
Est Orcus illa, vis est indomabilis,
Et rabies est insana.——

Sicut et reliquorum fere deorum nullus effugit maledicta

ἐκπέφευγε τὴν ἀλοιδόρητον ἀμαθίαν. Σκόπει δὲ τὸν Ἄρην καθάπερ ἐν πίνακι χαλκῷ τὸν ἀντικειμένην ἐκ διαμέτρου τῷ Ἔρωτι χώραν ἔχοντι, πηλίκας εἴληχε τιμὰς ὑπ' ἀνθρώπων, καὶ πάλιν ὅσα κακῶς ἀκούει.

B Τυφλὸς γὰρ, ὦ γυναῖκες, οὐδ' ὁρῶν Ἄρης
Συὸς προσώπῳ πάντα τυρβάζει κακά.

Καὶ ΜΙΑΙΦΟΝΟΝ Ὅμηρος αὐτὸν καλεῖ καὶ ΑΛΛΟΠΡΟΣΑΛΛΟΝ. Ὁ δὲ Χρύσιππος ἐξηγούμενος τοὔνομα τοῦ θεοῦ, κατηγορίαν ποιεῖ καὶ διαβολήν· ἀναιρεῖν γὰρ εἶναι τὸν Ἄρην φησίν, ἀρχὰς διδοὺς τοῖς τὸ μαχητικὸν ἐν ἡμῖν καὶ διάφορον καὶ θυμοειδὲς, Ἄρην κεκλῆσθαι νομίζουσιν. Ἕτεροι δ' αὖ φήσουσι τὴν Ἀφροδίτην ἐπιθυμίαν εἶναι, καὶ τὸν Ἑρμῆν λόγον, καὶ τέχνας τὰς Μούσας, καὶ φρόνησιν τὴν Ἀθηνᾶν. Ὁρᾷς δήπου τὸν ὑπολαμβάνοντα βυθὸν C ἡμᾶς ἀθεότητος, ἂν εἰς πάθη καὶ δυνάμεις καὶ ἀρετὰς διαγραφώμεθα ἕκαστον τῶν θεῶν;

A. 12. ἀλοιδόρητον] Mez. Reisk. εὐλοιδόρητον. Forte, λοιδορητήν.
B. 5. ἀναιρεῖν] Sic E. Vulgo, ἀνηρεῖν. Reisk. ἀναιρέτην.

inſcitiæ ad conviciandum facilis. Conſidera enim Martem veluti in æerea tabula Amori e regione et ad lineam oppoſitum, quantos ei honores detulerint homines, et qualibus viciſſim impetant conviciis,

Cæcus, mulieres, eſt Mavors, nihil videns
Similis apro quæcunque conturbat mala.

Et Homerus eum *homicidiis pollutum* vocat atque *Alloproſallon*, quod ſubinde ab una parte ad alteram deſciſcat. Chryſippus nomen Martis ἄρης interpretans ἀναιρεῖν, id eſt *interimere*, accuſat ac reprehendit, ut anſam dederit iis, qui rationi repugnantem partem, in qua irarum ardores exſiſtunt, putent Martis voce notari. Sic alii dicent, Venerem eſſe concupiſcentiam, Mercurium ſermonem, artes Muſas, Minervam ſapientiam. Vides, quantum nos maneat impietatis profundum, ſi ſingulos deos in affectiones, facultates, et virtutes tranſcribamus?

ιδʹ. Ὁρῶ, εἶπεν ὁ Πεμπτίδης, ἀλλ' οὔτε πάθη τοὺς θεοὺς ποιεῖν ὅσιον, οὔτε αὖ πάλιν τὰ πάθη θεοὺς νομίζειν. Καὶ ὁ πατήρ, Τί οὖν, ἔφη, τὸν Ἄρην θεὸν εἶναι νομίζεις, ἢ πάθος ἡμέτερον; Ἀποκριναμένου δὲ τοῦ Πεμπτίδου, θεὸν ἡγεῖσθαι τὸν Ἄρην κοσμοῦντα τὸ θυμοειδὲς ἡμῶν καὶ ἀνδρῶδες· ἀνακραγὼν ὁ πατήρ, Εἶτα, ἔφη, τὸ μὲν παθητικόν, ὦ Πεμπτίδη, καὶ πολεμικὸν καὶ ἀντίπαλον θεὸν ἔχει, τὸ δὲ φιλητικὸν καὶ κοινωνικὸν καὶ συνελευστικὸν ἄθεόν ἐστι; καὶ κτείνοντας μὲν ἄρα καὶ κτεινομένους ἀνθρώπους, ὅπλα τε καὶ βέλη καὶ τειχομαχίας καὶ λεηλασίας D ἐστί τις ἐφορῶν καὶ βραβεύων θεὸς Ἐνυάλιος καὶ Στράτιος, πάθους δὲ γάμου καὶ φιλότητος εἰς ὁμοφροσύνην καὶ κοινωνίαν τελευτώσης οὐδεὶς θεῶν μάρτυς οὐδ' ἐπίσκοπος, οὐδὲ ἡγεμὼν ἢ συνεργὸς ἡμῖν γέγονεν; Ἀλλὰ δορκάδας μὲν θηρεύουσι καὶ λαγωοὺς καὶ ἐλάφους ἀγρότερός τις συνεπιθωΰσσει καὶ συνεξορμᾷ θεός, εὔχονται δ' Ἀρισταίῳ δόλοι-

D. 3. γάμου] γαμικοῦ Mez.
D. 6. συνεπιθωΰσσει] Sic B. E. Xyl. Mez. Vulgo, συνεπιθωΰσει.

XIV. Video, aiebat Pemptides, neque deos mutari in affectiones animi fas est, neque has pro diis putare. Quid ergo, inquit pater, Mars an videtur tibi deus? Respondit Pemptides, Martem sibi deum videri eum, qui partem animi irascentem et virilem componat. Tum exclamans pater, Ergone, inquit, quod nos perturbat, Pemptida, quod pugnax est et adversarium, deum habet; quod amoris, societatis, et congressus est efficax, eo caret? Est vero deus, qui homicidia, arma, jacula, murorum oppugnationes, prædationesque inspiciat et gubernet, Enyalius et Stratius inde dictus: affectio animi et amicitia in nuptias et communitatem desinens, nullum deorum testem, inspectorem, ducem, adjutoremque habet? Sed capreas quidem qui venantur, et lepores, sylvestre quoddam numen est quod præsens exhortetur et adjuvet: et Aristæo vota faciunt, foveis actis

τες ὀρύγμασι καὶ βρόχοις λύκους καὶ ἄρκτους,

> Ὃς πρῶτος θήρεσσιν ἔπηξε ποδάγρας·

ὁ δὲ Ἡρακλῆς ἕτερον θεὸν παρακαλεῖ μέλλων ἐπὶ τὸν ὄρνιν αἴρεσθαι τὸ τόξον, ὡς Αἰσχύλος φησιν,

E

> Ἀγρεὺς δ' Ἀπόλλων ὀρθὸν ἰθύνοι βέλος·

ἀνδρὶ δὲ τὸ κάλλιστον ἐπιχειροῦντι θήραμα φιλίαν ἑλεῖν, οὔτε θεὸς οὔτε δαίμων ἀπευθύνει καὶ συνεφάπτεται τῆς ὁρμῆς; Ἐγὼ μὲν γὰρ οὐδὲ δρυὸς, οὐδὲ μορέας, οὐδ' ἣν Ὅμηρος ἩΜΕΡΙΔΑ σεμνύνων προσεῖπεν, ἀκαλλέστερον ἔρνος οὐδὲ φαυλότερον ἡγοῦμαι φυτὸν ἄνθρωπον, ὦ φίλε Δαφναῖε, βλαστήσεως ὁρμὴν ἔχοντα διαφαίνουσαν ὥρᾳ καὶ κάλλος ἅμα σώματος καὶ ψυχῆς.

ιε'. Καὶ ὁ Δαφναῖος, Τίς δὲ ἄλλως, εἶπεν, ὦ πρὸς τῶν θεῶν; Οὗτοι, νὴ Δία, ἔφη, πάντες, ὁ πατὴρ, οἱ νο-

F μίζοντες ἀρότου καὶ σπόρου καὶ φυτείας ἐπιμέλειαν θεοῖς

E. 1. ἰθύνοι] Sic E. Vulgo, ἰθύνει.
E. 5. προσεῖπεν] Posui loco vulgati προεῖπεν.
E. 9. ἄλλως] Sic Leonic. Vulgo, ἄλλος.
F. 1. ἀρότου] Scripsi pro vulgato ἀρότρου.

aut laqueis positis qui lupis aut ursis insidiantur,

> *Ille feris primus pedicas quia tendere cœpit:*

et Hercules, cum esset sagittam avi intentaturus, alterius dei auxilium implorat, ut est apud Æschylum,

> *Venator Apollo sagittam rectà dirigat:*

viri autem pulcherrimam amicitiæ venationem molientis, neque deus, neque genius ullus conatum adjuvat? Ego quidem neque quercus, neque mori, neque labruscæ, quam Homerus prædicans ἡμερίδα ob teneritatem vocat, germine deformius aut deterius germen hominem censeo, mi Daphnæe, cum ejus pullulatio progressum habeat pulchritudine cum corporis tum animi splendentem.

XV. Estne, inquit Daphnæus, per deos, qui secus sentiat? Ii, aiebat pater, mehercle, qui opinantur arationis, sationis, plantationis curam diis convenire. Non

προσήκειν. Οὐ γὰρ νύμφαι τινὲς αὐτοῖς δρυάδες εἰσὶν

> Ἴσον δένδρου τέκμαρ αἰῶνος λαχοῦσαι·
> Δενδρέων δὲ τρόπον Διόνυσος, πολύ τι φέγγος αὐξάνει, φέγγος ἁγνὸν ὀπώρας,

κατὰ Πίνδαρον· μειρακίων δ' ἄρα καὶ παίδων ἐν ὥρᾳ καὶ ἄνθει πλαττομένων καὶ ῥυθμιζομένων τροφαὶ καὶ αὐξήσεις οὐδενὶ θεῶν ἢ δαιμόνων προσήκουσιν; οὐδ' ἔστιν ᾧ μέλει φυόμενον ἄνθρωπον εἰς ἀρετὴν ὀρθὸν ἐλθεῖν, καὶ μὴ παρα- 75
τραπῆναι μηδὲ κλασθῆναι τὸ γενναῖον, ἐρημίᾳ κηδεμόνος ἢ κακίᾳ τῶν προστυγχανόντων; Ἢ καὶ τὸ λέγειν ταῦτα δεινόν ἐστι καὶ ἀχάριστον, ἀπολαύοντάς γε τοῦ θείου τοῦ φιλανθρώπου πανταχόσε νενεμημένου καὶ μηδαμοῦ προλείποντος ἐν χρείαις· ὧν ἀναγκαιότερον ἔνιαι τὸ τέλος ἢ κάλλιον ἔχουσιν; Ὥσπερ εὐθὺς περὶ τὴν γένεσιν ἡμῶν, οὐκ εὐπρεπὴς οὖσα δι' αἵματος καὶ ὠδίνων, ὅμως ἔχει θείαν

F. 4. φέγγος] Legendum, Δενδρέων δὲ νόμον Διόνυσος πολυγαθὴς αὐξάνει ἁγνὸν φέγγος ὀπώρας. Vid. ſupra, p. 365. A. 745. A.

A. 4. ἀπολαύοντάς γε] Prius eſt ex Leonic. et Mez. alterum conſequenter ipſe correxi. Vulgo, ἀπολαύοντάς τε. Baſ. Xyl. ἀπολαύοντας τε τὸν θεὸν τοῦ φ. Mox τοῦ ante φιλανθρώπου deleam. Itaque verti.

enim Nymphæ quædam illis ſunt *Dryades, eundem cum arbore finem ævi ſortitæ:* et *Bacchus*, ut apud Pindarum eſt, *arborum fructus, autumnumque ſplendidum efficit:* adoleſcentium et puerorum in flore ætatis formandorum componendorumque nutritio atque incrementa nulli deorum aut geniorum curæ erunt: neque eſt qui procuret, ut natus homo ad virtutem recta feratur, neque indoles ejus generoſa avertatur et frangatur, deſtituta ductore, aut ob pravitatem eorum cum quibus vivit? An potius dirum hoc ingratumque dictu utique habendum ſit; præſertim cum Numinis humanitatem percipiamus quaquaverſum diffuſam nulloque in uſu deficientem noſtro: etiam eorum quorum finis neceſſarius magis eſt quam pulcher? Ita ſtatim partus noſter, ſane non ſpecioſus, ut qui doloribus et ſanguine conficiatur, tamen habet divinam inſpectricem et obſte-

ἐπίσκοπον Εἰλείθυιαν καὶ Λοχείαν· ἣν δέ που μὴ γίνεσθαι
κρεῖττον, ἢ γενέσθαι κακὸν, ἁμαρτάνοντα κηδεμόνος ἀγα-
θοῦ καὶ φύλακος. Οὐ μὴν οὐδὲ νοσοῦντος ἀνθρώπου θεὸς
B ἀποστατεῖ τὴν περὶ τοῦτο χρείαν καὶ δύναμιν εἰληχὼς, ἀλλ'
οὐδὲ ἀποθανόντος· ἔστι δέ τις ἐκεῖ κομιστὴρ ἐνθένδε καὶ
ἀρωγὸς ἐν τέλει γενομένων κατευναστὴς καὶ ψυχοπομ-
πὸς, ὥσπερ οὗτος,

Οὐ γάρ με νὺξ ἔτικτε δεσπότην λύρας,
Οὐ μάντιν, οὐδ' ἰατρὸν, ἀλλὰ θνητὸν ἅμα ψυχαῖς.

Καὶ τὰ τοιαῦτα πολλὰς ἔχει δυσχερείας· ἐκείνου δ' οὐδ'
ἔστιν εἰπεῖν ἔργον ἱερώτερον οὐδὲ ἅμιλλαν ἑτέραν, οὐδ' ἀ-
γῶνα θεῷ πρέπειν μᾶλλον ἐφορᾶν καὶ βραβεύειν ἢ τὴν
περὶ τοὺς καλοὺς καὶ ὡραίους ἐπιμέλειαν τῶν ἐρώντων καὶ
δίωξιν. Οὐδὲν γάρ ἐστιν αἰσχρὸν οὐδ' ἀναγκαῖον, ἀλλὰ πει-
C θὼ καὶ χάρις ἐνδιδοῦσα πόνον ἡδὺν ὡς ἀληθῶς κάματον

B. 2. κομιστὴρ—καὶ ἀρωγὸς] Prius est ex B. E. pro κομιστόν: alterum mutem in ἀγωγοῖς.

B. 6. θνητὸν ἅμα ψυχαῖς] ἡγήτορα ψυχαῖς corrigit Valcken. Eur. Phœn. p. 506.

B. 7. Καὶ τὰ τοιαῦτα] Forte, καίτοι ταῦτα.

C. 1. ἐνδιδοῦσα—κάματον] Prius ex E. pro ἡ διδοῦσα. Cetera ita legenda, πόνον ἡδὺν καὶ ὡς ἀληθῶς εὐκάματον.

tricem Lucinam. Nimirum autem præstabat non nasci, quam nasci malum inopia curatoris et custodis. Jam ne ægrotantem quidem hominem deus deserit, qui istis est præfectus usibus, neque morientem. Sed est quidam, qui animas hinc abducat auxiliarius, qui somnum conciliet, et animam ad manes deducat, sicut ille ait,

Non nox enim genuit me principem lyræ,
Vatemve, vel medicum: sed qui mortalium
Animas suis ductor reponam sedibus.

Et quidem hæc multas habent difficultates. Nullum vero sanctius dici potest studium, neque certamen, ullamve consectationem arbitrio suo gubernare magis convenit deo, quam pulchrorum et formosorum; nihil enim habet turpe, nihil coactum: persuadendo et gratia labor vere dulcis fac-

ὑφηγεῖται πρὸς ἀρετὴν καὶ φιλίαν, οὔτε ἄνευ θεοῦ τὸ προσῆκον τέλος λαμβάνουσαν, οὔτε ἄλλον ἔχουσαν ἡγεμόνα καὶ δεσπότην θεὸν, ἀλλὰ τὸν Μουσῶν καὶ Χαρίτων καὶ Ἀφροδίτης ἑταῖρον, Ἔρωτα.

Γλυκὺ γὰρ θέρος ἀνδρὸς ὑποσπείρων πραπίδων πόθον,

κατὰ τὸν Μελανιππίδην, τὰ ἥδιστα μίγνυσι τοῖς καλλίστοις· ἢ πῶς, ἔφη, λέγομεν, ὦ Ζεύξιππε;

ιϛ'. Κἀκεῖνος, Οὕτως, ἔφη, νὴ Δία, παντὸς μᾶλλον· ἄτοπον γὰρ ἀμέλει τοὐναντίον. Ἐκεῖνο δὲ, ὁ πατὴρ, οὐκ ἄτοπον, εἶπεν, εἰ τέσσαρα γένη τῆς φιλίας ἐχούσης, ὥσπερ οἱ παλαιοὶ διώρισαν, τὸ φυσικὸν πρῶτον, εἶτα τὸ D συγγενικὸν ἐπὶ τούτῳ, καὶ τρίτον τὸ ἑταιρικὸν, καὶ τελευταῖον τὸ ἐρωτικὸν, ἔχει τούτων ἕκαστον ἐπιστάτην θεὸν, ἢ φίλιον, ἢ ξένιον, ἢ ὁμόγνιον καὶ πατρῷον· μόνον δὲ τὸ ἐρωτικὸν, ὥσπερ δυσιεροῦν, ἄνομον καὶ ἀδέσποτον ἀφεῖται, καὶ ταῦτα πλείστης ἐπιμελείας καὶ κυβερνήσεως δεόμενον;

D. 3. ἔχει τούτων] Malim ἔχει τῶν ἄλλων, vel, ἔχει ἐκείνων.
D. 5. δυσιεροῦν, ἄνομον] Prius eſt ex E. poſterius non dubitavi ipſe corrigere. Vulgo, δυσιερὲς, ἄνοσον—.

tus ducit ad virtutem et amicitiam, quæ neque ſine deo poteſt ad debitum finem pervenire, neque alium habet ducem et præſidem de diis, quam Amorem, Muſarum, Gratiarum, et Veneris ſodalem. *Deſiderii enim ſuavem ſegetem ſeminans tacite in viri præcordiis*, ut ait Melanippides, ſuaviſſima pulcherrimis permiſcet. Aut quomodo aliter dicemus, Zeuxippe?

XVI. Omnino ſic potiſſimum, ait hic, contrarium enim aperte abſurdum eſt. Tum pater, Nonne, inquit, abſurdum et hoc ſit, cum amicitiæ quatuor ſint genera, ſicut antiqui diſtinxerunt, primum naturale, ſecundum cognationis, tertium ſocietatis, quartum amoris, et quodvis reliquorum habeat deum aliquem ſibi præfectum, ſive Amicitiæ patronum, ſive Hoſpitalem, ſive Gentilem aut Paternum: ſolum quartum, quaſi impium, abſque procuratore relinquatur? cum quidem plu-

Ἔχει καὶ ταῦτα, ὁ Ζεύξιππος εἶπεν, οὐ μὴν ἀλλοτρίαν. Ἀλλὰ μὴν, ὁ πατὴρ ἔφη, τά τε τοῦ Πλάτωνος ἐπιλάβοιτ' ἂν τοῦ λόγου καὶ παρεξιόντα. Μανία γὰρ ἡ μὲν
E ἀπὸ σώματος ἐπὶ ψυχὴν ἀνεσταλμένη δυσκρασίαις τισὶν ἢ συμμίξεσιν, ἢ πνεύματος βλαβεροῦ περιφερομένου, τραχεῖα καὶ χαλεπὴ καὶ νοσώδης. Ἑτέρα δ' ἐστὶν οὐκ ἀθείαστος, οὐδὲ οἰκογενὴς, ἀλλ' ἔπηλυς ἐπίπνοια καὶ παρατροπὴ τοῦ λογιζομένου καὶ φρονοῦντος, ἀποχὴν κρείττονος δυνάμεως ἀρχὴν ἔχουσα καὶ κίνησιν, ἧς τὸ μὲν κοινὸν ἐνθουσιαστικὸν καλεῖται πάθος· ὡς γὰρ ἔμπνουν τὸ πνεύματος πληρωθὲν, ἔμφρον δὲ τὸ φρονήσεως, οὕτως ὁ τοιοῦτος σάλος ψυχῆς ἐνθουσιασμὸς ὠνόμασται, μετοχῇ καὶ κοινωνίᾳ θειοτέρας δυνάμεως· ἐνθουσιασμοῦ δὲ τὸ μαντικὸν ἐξ Ἀπόλλωνος ἐπιπνοίας καὶ κατοχῆς· τὸ δὲ βακ-

D. 7. οὐ μὴν ἀλλοτρίαν] Lego, ὁμοίαν ἀλογίαν.
D. 8. τά τε τοῦ] Legendum, τά γε τοῦ.
E. 5. ἀποχὴν] Lego cum Mez. κατοχήν. Ald. Baſ. B. E. ἀρχὴν, cujus loco vulgatum ἀποχὴν ex Leonic. Schott. ſumſit Steph. Xyl. omiſit.
E. 10. τὸ μαντικὸν] τὸ additum ex E.

rimum curæ et gubernationis deſideret. Id quoque, aiebat ille, a ratione eſt alienum. Enimvero, intulit pater, Platonis quoque ſententia diſputationi noſtræ vel præterire volenti manum injiciat. Furor enim a corpore in animam deditus intemperie aliqua, aut commixtione, aut noxii ſpiritus illapſu, morbus eſt aſper ac difficilis. Alius autem eſt non expers divini inſtinctus, neque indigena, ſed advena afflatus et conturbatio rationis, ejuſque principium et motus a meliore eſt facultate: ejus communis affectio vocatur enthuſiaſmus, qui eſt furor divinitus immiſſus: prouti enim ἔμπνουν vocatur, quod ſpiritu eſt repletum, et ἔμφρον, quod prudentia: ita hujuſmodi exagitatio et fluctuatio animæ enthuſiaſmus dicitur, ob communicationem divinioris facultatis. Enthuſiaſmorum porro genus divinationi conjunctum, fit Apolline inſpirante: cum bacchatione, a

χεῖον ἐκ Διονύσου,

Κἀπὶ κορυβάντεσσι χορεύσατε, F

φησὶ Σοφοκλῆς, τὰ γὰρ μητρῷα καὶ πανικὰ κοινωνεῖ τοῖς βακχικοῖς ὀργιασμοῖς.- Τρίτη δὲ ἀπὸ Μουσῶν λαβοῦσα ἁπαλὴν καὶ ἄβατον ψυχὴν, τὸ ποιητικὸν καὶ μουσικὸν ἐξώρμησε καὶ ἀνεῤῥίπισεν. Ἡ δὲ ἀρειμάνιος αὕτη λεγομένη καὶ πολεμικὴ παντὶ δῆλον ὅτι τῷ θεῷ ἀνίεται καὶ βακχεύεται, ἄχαριν, ἀκίθαριν ἀκ * γονον ἀρ * τατε δῆμον ἐξοπλίζουσαν. Λείπεται δὲ τῆς ἐξαλλαγῆς ἐν ἀνθρώπῳ 759
καὶ παρατροπῆς οὐκ ἀμαυρὸν οὐδὲ ἡσυχαῖον, ὦ Δαφναῖε, μόριον, ὑπὲρ οὗ βούλομαι τουτονὶ Πεμπτίδην ἐρέσθαι * τί * καρπονθύρσον ἀνασείει θεῶν τὸν φιλητικὸν τοῦτον περὶ παῖδας ἀγαθοὺς καὶ σώφρονας γυναῖκας ἐνθουσιασμὸν πολὺ δριμύτατον ὄντα καὶ θερμότατον. Ἦ γὰρ

F. 7. ἀκίθαριν—ἐξοπλίζουσαν] Ita omnes libri: forte fupplendum, ἀκίθαριν, ἀκαλλῆ, ἄγονον ἁρμονίαν, καὶ πᾶν ἔθνος πάντα τε δῆμον ἐξοπλίζουσαν. Paulo ante pro ὅτι τῷ θεῷ legam, ὅτῳ θεῷ.

A. 3. ἐρέσθαι *—φιλητικὸν] Forte fupplendum, ἐρέσθαι διὰ τί οὐδενὶ τὸν ἀείκαρπον θύρσον—. Ex E. et Mez. eft φιλητικὸν loco vulgati φιλιτικόν.

Libero eft patre :

Et cum Corybantibus faltabitis,

inquit Sophocles : nam Magnæ Matris et Panici furores Bacchi cum orgiis conveniunt. Tertium genus a Mufis eft, quod excitatum in tenera anima atque placida, poëticam et muficam viri exfufcitat. Arimanius autem ille et bellicofus enthufiafmus fatis notum eft quod debeatur Marti, cui eo conciti bacchantur fine gratiis, fine cithara, fine jucunditate, fterilem harmoniam, omnem gentem omnemque populum armantem. Reftat autem furoris, quo ratio in homine conturbatur, non obfcurum aut tranquillum, Daphnæe, genus : de quo e Pemptida hoc quæram, quamobrem fecundum illum thyrfum, amicitiæ illum inquam effectorem furorem, qui circa pueros præclaros et pudicas fœminas cernitur, longe acerrimum illum et calidiffimum, nemini Deorum confecratum quaffatumque velit. Nonne

οὐχ ὁρᾷς, ὡς ὁ μὲν στρατιώτης τὰ ὅπλα θεὶς πέπαυται τῆς πολεμικῆς μανίας,

—— τοῦ μὲν ἔπειτα
Γηθόσυνοι θεράποντες ἀπ' ὤμων τεύχε' ἕλοντο,

καὶ κάθηται τῶν ἄλλων ἀπόλεμος θεατής; ταυτὶ δὲ B τὰ βακχικὰ καὶ κορυβαντικὰ σκιρτήματα, τὸν ῥυθμὸν μεταβάλλοντες ἐκ τροχαίου, καὶ τὸ μέλος ἐκ Φρυγίου, πραΰνουσι καὶ καταπαύουσιν· ὡς δ' αὔτως ἡ Πυθία τοῦ τρίποδος ἐκβᾶσα καὶ τοῦ πνεύματος, ἐν γαλήνῃ καὶ ἡσυχίᾳ διατελεῖ. Τὴν δὲ ἐρωτικὴν μανίαν τοῦ ἀνθρώπου καθαψαμένην ἀληθῶς καὶ διακαύσασαν, οὐ Μοῦσά τις, οὐκ ἐπῳδὴ θελκτήριος, οὐ τόπου μεταβολὴ καθίστησιν· ἀλλὰ καὶ παρόντες ἐρῶσι, καὶ ἀπόντες ποθοῦσι· καὶ μεθ' ἡμέραν διώκουσι, καὶ νύκτωρ θυραυλοῦσι· καὶ νήφοντες καλοῦσι τοὺς καλοὺς, καὶ πίνοντες ᾄδουσι. Καὶ C οὐχ, ὥς τις εἶπεν, αἱ ποιητικαὶ φαντασίαι διὰ τ' ἐνάργειαν ἐγρηγορότων ἐνύπνιά εἰσιν, ἀλλὰ μᾶλλον αἱ τῶν

C. 2. μᾶλλον αἱ] Ita recte Xyl. Vulgo, μᾶλλον οἱ.

enim vides, bellatorem armis positis liberari bellico furore?

Illius ex humeris laeti mox arma ministri
Detraxere:

spectatque deinde reliquos ipse bello defunctus. Bacchicas quoque et Corybanticas saltationes modulatione e trochaeo, et cantu e Phrygio modo emoto sedant. Eodemque modo Pythia a tripode et spiritu digressa conquiescit. Furorem autem amatorium, ubi is hominem recte invasit atque inflammavit, non Musa aliqua, non demulcens incantatio, non loci mutatio compescit. Sed et praesentes amant, et absentes desiderant, et interdiu sectantur, et noctu ad fores excubant, et sobrii vocant pulchros, et bibentes canunt. Et non, ut quidam dixit, visa poëtarum ob efficacitatem somnia sunt vigilantium: sed de visis

ὤνιόν ἐστι δραχμῆς, καὶ οὔτε πόνον οὐδεὶς οὔτε κίνδυνον ἀφροδισίων ἕνεκα μὴ ἐρῶν ὑπέμεινε. Καὶ ὅπως ἐνταῦθα μὴ Φρύνας ὀνομάζωμεν, ὦ ἑταῖρε, ἢ Λαΐδας, Γναθαίνιον

Ἐφ' ἑσπέρου δαίουσα λαμπτῆρος σέλας

ἐκδεχομένη καὶ καλοῦσα παροδεύεται πολλάκις· ἐλθὼν δ' ἐξαπίνης ἄνεμος σὺν ἔρωτι πολλῷ καὶ πόθῳ ταὐτὸ τοῦτο τῶν Ταντάλου λεγομένων ταλάντων καὶ τῆς αὐτοῦ ἀρχῆς ἀντάξιον ἐποίησεν. Οὕτως ἀσθενὴς καὶ ἁψίκορός ἐστιν ἡ τῆς Ἀφροδίτης χάρις, Ἔρωτος μὴ ἐπιπνεύσαντος. Ἔτι δὲ μᾶλλον κἀκεῖθεν ἂν συνίδοις· πολλοὶ γὰρ ἀφροδισίων ἑτέροις ἐκοινώνησαν, οὐ μόνον ἑταίρας ἀλλὰ καὶ γαμετὰς προαγωγεύοντες· ὥσπερ καὶ ὁ Ῥωμαῖος ἐκεῖνος, ὦ ἑταῖρε, Κάλβας εἱστία Μαικήναν, ὡς ἔοικεν, εἶτα ὁρῶν 14 διαπληκτιζόμενον ἀπὸ νευμάτων πρὸς τὸ γύναιον, ἀπέκλινεν ἡσυχῇ τὴν κεφαλὴν, ὡς δὴ καθεύδων· ἐν τούτῳ δὲ τῶν οἰκετῶν τινος προσρυέντος ἔξωθεν τῇ τραπέ-

A. 1. Κάλβας] Hoc Steph. dedit ex Leonic. Schott. libri omnes Ald. Baf. Xyl. B. E. Κάββας.

neream Amoris expertem denario proſtare, neque ejus gratia quenquam non amantem vel laborem pertuliſſe, vel periculum adiiſſe ullum. Ac ne hic Phrynas nominemus, amice, aut Laidas, Gnathænium

Sub veſperam lucernæ ſuccendens jubar

ſæpenumero exſpectans et vocans præteritur.

At ſubito exoriens ventus

magni amoris ac deſiderii, concubitum reddidit pretio Tantali talentis comparabilem. Adeo imbecillis et faſtidioſa eſt Veneris gratia, Amore non adſpirante. Idque hoc argumento magis etiam cognoſces. Multi concubitus ſocios paſſi ſunt eſſe alios, non cum ſcortis modo, ſed etiam uxores iis ſuas proſtituentes: ut Cabbas ille Romanus, qui cum Mæcenatem excepiſſet, et eum nutibus videret ad ſuam uxorem alludere, ſenſim capite inclinato ſomnum ſimulavit: cum autem interim ſervorum quidam ad menſam ac-

ζῇ, καὶ τὸν οἶνον ὑφαιρουμένου, διαβλέψας, "Κακόδαι- "μον," εἶπεν, "οὐκ οἶσθα ὅτι μόνῳ Μαικήνᾳ κα- "θεύδω;" τοῦτο μὲν οὖν ἴσως οὐ δεινόν ἐστιν· ἦν γὰρ ὁ Κάλ- βας γελωτοποιός. Ἐν δὲ Ἄργει Νικόστρατος ἀντεπο- λιτεύσατο πρὸς Φαύλιον· ἐπιδημήσαντος οὖν Φιλίπ- που τοῦ βασιλέως, ἐπίδοξος ἦν διὰ τῆς γυναικὸς ἐκ- πρεποῦς οὔσης, εἰ συγγένοιτο τῷ Φιλίππῳ, διαπράξ-
B ασθαί τινα δυναστείαν αὑτῷ καὶ ἀρχήν· αἰσθομένων δὲ τῶν περὶ Νικόστρατον τοῦτο, καὶ περὶ τὰς θύρας τῆς οἰκίας περιπατούντων, ὁ Φαύλιος ὑποδήσας τὴν γυ- ναῖκα κρηπῖσι, καὶ χλαμύδα περιθεὶς καὶ καυσίαν Μα- κεδονικὴν, ὡς ἕνα τῶν βασιλικῶν νεανίσκων παρεισέπεμ- ψε λαθοῦσαν. Ἆρ᾽ οὖν ἐραστῶν τοσούτων γεγονότων καὶ ὄντων, οἶσθα ἐπὶ ταῖς τοῦ Διὸς τιμαῖς περιαγωγὸν ἐρωμένου γενόμενον; ἐγὼ μὲν οὐκ οἶμαι· πόθεν γάρ; ὅπου καὶ τοῖς τυράννοις ἀντιλέγων μὲν οὐδεὶς οὔτε ἀντι- πολιτευόμενός ἐστιν, ἀντερῶντες δὲ πολλοὶ καὶ φιλοτιμού-

cessisset extrinsecus, ac vinum suffuraretur, apertis oculis, *Perdite*, inquit, *an nescis me soli dormire Mæcenati?* Hoc quidem indignum est facinus fortasse: et erat quoque Cabbas sannio. Argis contentio erat Nicostrato et Phayllo de republica. Eo cum venisset Philippus rex, apparebat, hunc, si uxorem, quæ erat insigni forma, regi abutendam præberet, magistratum aliquem sibi et principatum impetraturum: cumque sentiret hoc Nicostratus, et circa fores domus obambularet, Phayllus uxori crepidas subligavit, chlamydeque et causia Macedonica ornatam, tanquam unum de pueris regiis, ignotam aliis regi submisit. An vero cum tot fuerint sintque amatores, ullum nosti qui vel Jovis honores depactus amasium prostituisset? Non quidem puto: unde enim? quando etiam tyrannorum qui se dictis aut factis in republica opponat, nemo est: multi autem qui de amore formosorum et bonorum adversus eos certamina

μένοι περὶ τῶν καλῶν καὶ ὡραίων. Ἀκούεται γὰρ ὅτι καὶ C Ἀριστογείτων Ἀθηναῖος καὶ Ἀντιλέων Μεταποντῖνος καὶ Μενάλιππος ὁ Ἀκραγαντῖνος οὐ διεφέροντο τοῖς τυράννοις, πάντα τὰ πράγματα λυμαινομένους καὶ παροινοῦντας ὁρῶντες· ἐπεὶ δὲ τοὺς ἐρωμένους αὐτῶν ἐπείρων, ὥσπερ ἱεροῖς ἀσύλοις καὶ ἀθίκτοις ἀμύνοντες, ἠφείδησαν ἑαυτῶν. Λέγεται καὶ Ἀλέξανδρος ἐπιστεῖλαι Θεοδώρῳ Πρωτέου ἀδελφῷ, "Πέμψον μοι τὴν μουσουργὸν δέκα τάλαντα λαβὼν, εἰ μὴ ἐρᾷς αὐτῆς·" ἑτέρου δὲ τῶν ἑταίρων Ἀντιπατρίδου μετὰ ψαλτρίας ἐπικωμάσαντος, ἡδέως διατεθεὶς πρὸς τὴν ἄνθρωπον, ἐρέσθαι τὸν Ἀντιπατρίδην, "Οὐ δή που σὺ τυγχάνεις ἐρῶν ταύτης;" τοῦ δὲ, "Καὶ πάνυ," φήσαντος, εἰπὼν, "Ἀπόλοιο τοίνυν D κακὸς κακῶς," ἀποσχέσθαι καὶ μὴ θιγεῖν τῆς γυναικός.

ιζ'. Σκόπει τοίνυν αὖθις, ἔφη, τοῖς ἀρηΐοις ἔργοις ὅσον Ἔρως περίεστιν, οὐκ ἀργὸς ὢν, ὡς Εὐριπίδης ἔλε-

C. 1. Ἀκούεται] Legendum, Ἀκούετε, ut et Reisk. monuit.

susceperint. Perhibitum est enim Aristogitonem Atheniensem, Antileontem Metapontinum, Menalippum Agrigentinum non contendisse cum tyrannis, etsi eos viderent omnia vastare, et violentæ indulgere libidini: postquam autem tyranni eorum tentarunt amasios, tanquam asyla et sacrosancta defensuri cum capitis periculo illis restiterunt. Fertur etiam Alexandrum Theodoro Proteæ fratri scripsisse, *Mitte mihi musicam tuam, et pro ea talenta decem accipe, nisi ipse eam amas:* et rursus, cum unus de sociis Antipatridas ad ipsum cum psaltria comessatum venisset, et ea perplacuisset, quæsivisse ex Antipatrida, numnam amaret psaltriam: cumque is admodum a se eam diligi respondisset, fatum, *Male ergo pereas malus*, abstinuisse etiam contactu mulieris.

XVII. Porro autem considera, quantum Amor excellat in operibus Martiis, non ig-

γεν, οὐδὲ ἀστράτευτος, οὐδ'

Ἐν μαλακαῖσιν ἐννυχεύων παρειαῖς νεανίδων.

Ἀνὴρ γὰρ ὑποπλησθεὶς Ἔρωτος, οὐδὲν Ἄρεως δεῖται μαχόμενος πολεμίοις, ἀλλὰ τὸν αὑτοῦ θεὸν ἔχων συνόντα, πῦρ καὶ θάλασσαν καὶ πνοὰς τὰς αἰθέρος περᾶν ἕτοιμος ὑπὲρ τοῦ φίλου, οὗπερ ἂν κελεύῃ. Τῶν μὲν γὰρ τοῦ Σοφοκλέους Νιοβιδῶν βαλλομένων καὶ θνησκόντων, ἀνακα-
E λεῖταί τις οὐδένα βοηθὸν ἄλλον οὐδὲ σύμμαχον, ἢ τὸν ἐραστὴν

Ὦ * ἀμφ' ἐμοῦ στεῖλαι.

Κλεόμαχον δὲ τὸν Φαρσάλιον ἴστε δήπουθεν ἐξ ἧς αἰτίας ἐτελεύτησεν ἀγωνιζόμενος; Οὐχ ἡμεῖς γοῦν· οἱ περὶ Πεμπτίδην ἔφασαν· ἀλλ' ἡδέως ἂν πυθοίμεθα. Καὶ γὰρ ἄξιον· ἔφη ὁ πατήρ· ἧκεν ἐπίκουρος Χαλκιδεῦσι τοῦ Θεσσαλικοῦ πολέμου πρὸς Ἐρετριεῖς ἀκμάζοντος· καὶ τὸ μὲν πεζὸν ἐδόκει τοῖς Χαλκιδεῦσι ἐρρῶσθαι, τοὺς δ' ἱπ-

D. 6. μαλακαῖσιν ἐννυχεύων] Ita ſcripſi e Sophocl. Antig. 795. ut monuerunt viri docti. Omnes libri habent μαλακαῖσιν * αν.

D. 10. οὗπερ] Sic B. E. Vulgo, ὥσπερ.

navus, ut Euripides vocat, non mollis,

Non mollibus puellarum infixus genis.

Vir enim Amoris inſtinctu repletus nihil indiget, Marte pugnaturus in hoſtem, ſed ſui dei fretus præſentia, per

Ignem, mariſque fluctus, atque turbines
Venti paratus eſt tranſire,

amici gratia, quocunque is juſſerit. Etenim de Niobæ filiis apud Sophoclem, cum ii ſagittis necarentur, unus nullum alium auxiliarium inclamat, quam amaſium,

*O * circum me componere.*

Scitis vero, Cleomachus Pharſalius qua de cauſſa in pugna perierit? Mihi ſane, inquit Pemptidas, ignotum eſt, ſed audire velim. Et profecto cognitione digna res eſt, aiebat pater. Flagrante inter Chalcidenſes et Eretrienſes bello, Chalcidenſibus auxilio venerat Cleomachus. Videbantur autem hi peditatu ſatis valere, ſed equites hoſtium

καὶ οἰκείους καὶ, νὴ Δία, γονεῖς καὶ παῖδας ἐγκαταλείπουσιν· ἐραστοῦ δὲ καὶ ἐρωμένου μέσος οὐδεὶς πώποτε διεξῆλθε πολέμιος, οὐδὲ διεξήλασεν· ὅπου καὶ μηδὲν δεομένοις ἐπιδεικνῦναι τὸ φιλοκίνδυνον καὶ φιλόψυχον· ὡς Θήρων ὁ Θεσσαλὸς προσβαλὼν τὴν χεῖρα τῷ τείχει τὴν εὐώνυμον, καὶ σπασάμενος τὴν μάχαιραν, ἀπέκοψε τὸν ἀντίχειρα προκαλούμενος τὸν ἀντεραστήν· ἕτερος δέ τις ἐν μάχῃ πεσὼν ἐπὶ πρόσωπον, ὡς ἔμελλε παίσειν αὐτὸν ὁ πολέμιος, ἐδεήθη περιμεῖναι μικρὸν ὁ ἐρώμενος ἤδη κατὰ νώτου τετρωμένον. Οὐ μόνον τοίνυν τὰ μα- D
χιμώτατα τῶν ἐθνῶν ἐρωτικώτατα, Βοιωτοὶ καὶ Λακεδαιμόνιοι καὶ Κρῆτες, ἀλλὰ καὶ τῶν παλαιῶν ὁ Μελέαγρος, ὁ Ἀχιλλεύς, ὁ Ἀριστομένης, ὁ Κίμων, ὁ Ἐπαμεινώνδας· καὶ γὰρ οὗτος ἐρωμένους ἔσχε Ἀσώπιχον καὶ Καφισόδωρον, ὃς αὐτῷ συναπέθανεν ἐν Μαντινείᾳ, καὶ τέθαπται πλησίον· τὸν δὲ μω * φοβερώτερον γενόμενον τοῖς πολεμίοις,

C. 6. ἐπιδεικνῦναι—φιλόψυχον] Mez. et Reisk. recte, ἐπιδείκνυνται—ἀφιλόψυχον: et ita jam verterat Xyl.

C. 11. ὁ ἐρώμενος ἤδη] Legendum cum Mez. et verf. Xyl. μὴ ὁ ἐρώμενος ἴδῃ.

D. 7. μω *] Haud scio, an emendandum Ἐπαμεινώνδαν: quod nomen iisdem de caussis per ει scripsi, quibus alibi: licet hic libri servent simplex ι.

liares, adeoque parentes etiam et liberos, sunt qui deserant: per medios amatorem et amasium nullus unquam penetravit hostis; qui etiam nulla cogente necessitate ostentant audaciam suam et vitæ contemtum. Sic Thero Thessalus sinistram parieti applicuit, et ense dextra stricto pollicem amputavit, provocans ad hoc æmulandum rivalem. Alius quidam, cum in pugna cecidisset in faciem, ab hoste jam icturo petiit, ut exspectaret tantisper dum se in tergum converteret, ne amasius eum videret in tergo vulneratum. Non modo itaque bellicosissimæ gentes amori sunt deditissimæ, Bœoti, Lacedæmonii, Cretenses, sed et de veteribus Meleager, Achilles, Aristomenes, Cimon, Epaminondas: nam et hic amasios habuit Asopicum, et Caphisodorum, qui cum eo apud Mantineam occubuit, ac juxta sepultus est: et Mu * terribiliorem hostibus factum, quod primus substi-

καὶ δεξιώτατον ὁ πρῶτος ἐπισφάξας καὶ πατάξας Εὔκναμος Ἀμφισσεὺς, ἡρωϊκὰς ἔχει τιμὰς παρὰ Φωκεῦσιν. Ἡρακλέους δὲ τοὺς μὲν ἄλλους ἔρωτας ἔργον ἐστὶν εἰπεῖν διὰ πλῆθος· Ἰόλαον δὲ νομίζοντες ἐρώμενον αὐτοῦ γεγονέναι,
E μέχρι νῦν σέβονται καὶ τιμῶσιν, Ἔρωτος ὅρκους τε καὶ πίστεις ἐπὶ τοῦ τάφου παρὰ τῶν ἐρωμένων λαμβάνοντες. Λέγεται δὲ καὶ τὴν Ἄλκηστιν ἰατρικὸς ὢν ἀπεγνωσμένην σῶσαι τῷ Ἀδμήτῳ χαριζόμενος, ἐρῶντι μὲν αὐτοῦ τῆς γυναικὸς, ἐρωμένῳ δὲ αὐτοῦ γενομένῳ· καὶ γὰρ τὸν Ἀπόλλωνα μυθολογοῦσιν ἐραστὴν γενόμενον

'Αδμήτῳ παραθητεῦσαι μέγαν εἰς ἐνιαυτόν.

Εὖ δέ πως ἐπὶ μνήμην ἦλθεν ἡμῖν Ἄλκηστις. Ἄρεος γὰρ οὐ πάνυ μέτεστι γυναικὶ, ἡ δ' ἐξ Ἔρωτος κατοχὴ προάγεταί τι τολμᾶν παρὰ φύσιν καὶ ἀποθνήσκειν. Εἰ δήπου τι καὶ μύθων πρὸς πίστιν ὄφελός ἐστι, δηλοῖ τὰ
E περὶ τὴν Ἄλκηστιν, καὶ Πρωτεσίλεων, καὶ Εὐρυδίκην τὴν Ὀρφέως, ὅτι μόνῳ θεῶν ὁ Ἅιδης Ἔρωτι ποιεῖ τὸ προσ-

E. 9. ἐξ Ἔρωτος] Ita Xyl. Ceteri ἐξέρωτος. Mox δέ που legam pro δήπου.

tisset et feriisset Eucnamus Amphissensis, heroicis honoribus est a Phocensibus ornatus. Herculis vero amores enumerare est ob multitudinem molestum. Iolaum certe existimantes fuisse amasium ejus, etiamnum venerantur, Amoremque amantibus amasii jurejurando apud sepulchrum ejus firmare solent. Fertur etiam, rei medicæ peritus cum esset, Alcestidem jam desperatam Admeto restituisse conjugis amatori, suo amasio. Quin et Apollinem Admeti fuisse amatorem fabulæ aiunt, ideoque *ei per magnum annum servivisse*. Commodum autem nobis incidit Alcestidis mentio. Nam cum Marte quidem non multum est mulieribus rei: furor autem amatorius ad audendum aliquid, atque etiam moriendum impellit. Quod si quid ad veritatem fabulæ conducunt, Alcestis, Protesilaus, et Orphei Eurydice ostendunt, soli Amori Plutonem esse dicto audien-

πατλόμενον. Καίτοι πρός γε τοὺς ἄλλους, ὥς φησι Σοφοκλῆς, ἅπαντας

Οὔτε τὸ ἐπιεικὲς οὔτε τὴν χάριν
Οἶδεν, μόνην δὲ στέρξαι τὴν ἁπλῶς δίκην·

αἰδεῖται δὲ τοὺς ἐρῶντας, καὶ μόνοις τούτοις οὐκ ἔστιν ἀδάμαστος οὐδ' ἀμείλιχος. Ὅθεν ἀγαθὸν μὲν, ὦ ἑταῖρε, τῆς ἐν Ἐλευσῖνι τελετῆς μεταοχεῖν· ἐγὼ δὲ ὁρῶ τοῖς Ἔρωτος ὀργιασταῖς καὶ μύσταις ἐν ἅδου βελτίονα μοῖραν τυ οὖσαν· οὔτοι τοῖς μύθοις πειθόμενος, οὐ μὴν οὐδὲ ἀπιστῶν παντάπασιν· εὖ γὰρ δὴ λέγουσι, καὶ θείᾳ τινὶ τύχῃ ψαύουσι τοῦ * λέγοντες ἐξ ἅδου τοῖς ἐρωτικοῖς ἄνοδον εἰς φῶς ὑπάρχειν· ὅπῃ δὲ καὶ ὅπως, ἀγνοοῦσι, ὥσπερ ἀτραποῦ διαμαρτόντες, ἣν πρῶτος ἀνθρώπων διὰ φιλοσοφίας Πλάτων κατεῖδε· καίτοι λεπταί τινες ἀπόρροιαι καὶ ἀμυδραὶ τῆς ἀληθείας ἔνεισι ταῖς Αἰγυπτίων ἐνδιεσπαρμέναι μυθολογίαις, ἀλλὰ ἰχνηλάτου δεινοῦ δέονται, καὶ με-

F. 6. Οἶδεν] Ita Xyl. pro οἶδε. Aliter Valckenarius Diatrib. p. 187.
A. 4. τοῦ * λέγοντες] Excidit ἀληθῶς, ut Xyl. jam vidit.

tem, quanquam hic adversus alios omnes, ut est apud Sophoclem, neque æquitatem curat, neque gratiam,

Soloque jure simpliciter stricto utitur:

tamen amantes reveretur, iisque solis non est implacabilis neque indomitus. Proinde bonum quidem est, amice, sacris initiatum esse Eleusiniis: ego autem Amoris orgia agentibus ejusque mystis video meliorem esse apud manes conditionem, neque fidem fabulis adhibens, neque omnem tamen derogans. Bene enim dicunt, et divina quadam fortuna veritatem attingunt, dicentes, amori deditis reditum ab inferis concedi: quorsum autem, et quomodo, ignorant, veluti a semita aberrantes, quam primus hominum Plato philosophiæ auxilio perspexit. Sunt quidem etiam in Ægyptiorum fabulis exilia quædam veritatis vestigia, sed indagatorem desiderant acutum, et qui magna e parvis venari queat, itaque ea missa facie-

γάλα μικρᾶς ἐλθὸν δυναμένου. Διὰ ταῦτα μὲν ἐῶμεν,
B μετὰ δὲ τὴν ἰσχὺν τοῦ Ἔρωτος οὖσαν τοσαύτην, ἤδη τὴν
πρὸς ἀνθρώπους εὐμένειαν καὶ χάριν ἐπισκοπῶμεν, οὐκ
εἰ πολλὰ τοῖς χρωμένοις ἀγαθὰ περιποιεῖ, δῆλα γὰρ
ἐστὶ ταῦτά γε πᾶσιν, ἀλλ' εἰ πλείονα καὶ μείζονα τοὺς
ἐρῶντας αὐτοῦ ὀνίνησιν. Ἐπεὶ καίπερ ὢν ἐρωτικὸς ὁ Εὐρι-
πίδης, τὸ σμικρότατον ἀπεθαύμασεν, ἐπεὶ ποιητὴν ἄρα
Ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν. Συνετόν τε γὰρ
ποιεῖ κἂν ῥάθυμος ᾖ τὸ πρίν· καὶ ἀνδρεῖον, ἢ λέλεκται,
τὸν ἄτολμον, ὥσπερ οἱ τὰ ξύλα πυρακτοῦντες ἐκ μα-
λακῶν ἰσχυρὰ ποιοῦσι. Δωρητικὸς δὲ ἁπλῶς καὶ μεγα-
C λόφρων γίνεται πᾶς ἐραστὴς, κἂν γλίσχρος ᾖ πρότερον,
τῆς μικρολογίας καὶ φιλαργυρίας δίκην σιδήρου διὰ πυ-
ρὸς ἀνιεμένης· ὥστε χαίρειν τοῖς ἐρωμένοις διδόντας, ὡς
παρ' ἑτέρων οὐ χαίρουσιν αὐτοὶ λαμβάνοντες. Ἴστε γὰρ
δήπου ὡς Ἀνύτῳ Ἀνθεμίωνος ἐρῶντι μὲν Ἀλκιβιάδου,

B. 3. χρωμένοις—αὐτοῦ] Legendum, ἐρωμένοις—αὐτὸς, cum Mez.
B. 6. ἐπεὶ ποιητὴν—ἄμουσος] Legendum, εἰπὼν ποιητήν. Ex Baſ. et Xyl. ſumtum ἄμουσος pro ἄμουσον.
C. 5. Ἀνύτῳ] Forte, Ἀνύτῳ τῷ—.

mus. Ceterum poſt vim Amoris tantam, jam nunc conſideremus ejus erga homines benignitatem et gratiam: non, an multa amatis bona paret, cum hæc omnibus ſint manifeſta, ſed an pluribus ac majoribus commoditatibus amantes afficiat. Nam Euripides quidem, quanquam amatorius, minimum hoc admiratus prædicavit,

—— muſicam
Amor docet, quamlibet ejus rudem prius.

Ille vero et ſocordem ante, prudentem facit, et fortem qui prius inaudax erat, quomodo adurendo ligna de mollibus dura reddunt: munificus autem et liberalis fit omnis amans, quanquam adhuc fuerit tenax, avaritia iſta et puſillanimitate, quaſi ferro igne, emollita, ita ut magis jam gaudeat dans amaſio, quam ab alio accipiens. Noſtis enim, quomodo ad Anytum Anthemionis filium, cum ſplendido con-

φύσεως αὐτῶν, ἰσχύος τε καὶ δυνάμεως, μεγάλα διαφερόμενοι πρὸς ἀλλήλους. Ἐκεῖνοι μὲν γὰρ οἱ τῶν φιλοσόφων, ἄνοσοι καὶ ἀγήρῳ, πόνων τε ἄπειροι, βαρυβόαν πορθμὸν πεφευγότες Ἀχέροντος· ὅθεν οὐδὲ προσίενται ποιητικὰς Ἔριδας, οὐ Λιτάς, οὐ Δειμόν, οὐδὲ Φόβον ἐθέλουσι θεοὺς εἶναι παῖδας Ἄρεος ὁμολογεῖν· μάχονται D δὲ περὶ πολλῶν, καὶ τοῖς νομοθέταις, ὥσπερ Ξενοφάνης Αἰγυπτίους ἐκέλευσε τὸν Ὄσιριν, εἰ θνητὸν νομίζουσιν, μὴ τιμᾶν ὡς θεόν, εἰ δὲ θεὸν ἡγοῦνται, μὴ θρηνεῖν. Αὖθις δὲ ποιηταὶ καὶ νομοθέται, φιλοσόφων ἰδέας τινὰς καὶ ἀριθμοὺς μονάδας τε καὶ πνεύματα θεοὺς ποιουμένων, οὔτε ἀκούειν ὑπομένουσιν, οὔτε συνιέναι δύνανται. Πολλὴν δὲ ὅλως ἀνωμαλίαν ἔχουσιν αἱ δόξαι καὶ διαφοράν. Ὥσπερ οὖν ἦσάν ποτε τρεῖς στάσεις Ἀθήνησιν, Παράλων, Ἐπακρίων, Πεδιέων, χαλεπῶς ἔχουσαι καὶ διαφερόμεναι πρὸς ἀλλήλας· ἐπεὶ δὲ πάντες ἐν ταυτῷ γενόμενοι, καὶ τὰς ψή- E φους λαβόντες ἤνεγκαν πάσας Σόλωνι, καὶ τοῦτον εἵλοντο

tura, et poteſtate, maximæ ſunt inter ipſos diſſenſiones. Quos enim philoſophi deos agnoſcunt, ii *morborum, ſenii, laborumque expertes* perhibentur, qui, ut ille ait, *late ſonantem Acherontis effugere trajectum.* Itaque etiam philoſophi poëtarum iſtas Eridas, Litas non admittunt, neque Terrorem et Metum volunt deos, aut Martis eſſe filios: in multis rebus etiam legum conditoribus repugnant: ut Xenophanes, qui Ægyptiis præcipiebat, *ſi Oſirin mortalem crederent, ne eum colerent; ſi deum, ne deplorarent.* Rurſum poëtæ et legumlatores, neque audire philoſophos, neque intelligere poſſunt, quando hi ideas quaſdam, et numeros, et unitates, et ſpiritus, pro diis ponunt. Denique maxima eſt ſententiarum diverſitas et repugnantia. Ergo ſicut olim fuerunt Athenis tres factiones, Paralorum, Epacriorum, Pediæorum, inter ſe diſcordes et animis abalienatis; quæ tamen in unum coëuntes, communibus ſuffragiis Solonem compoſitorem, arbitrum, et legumlatorem de-

κοινῇ διαλλακτὴν καὶ ἄρχοντα καὶ νομοθέτην, ὃς ἔδοξε τῆς ἀρετῆς ἔχειν ἀδηρίτως τὸ πρωτεῖον· οὕτως αἱ τρεῖς στάσεις αἱ περὶ θεῶν διχοφρονοῦσαι, καὶ ψῆφον ἄλλην ἄλλη φέρουσαι, καὶ μὴ δεχόμεναι ῥαδίως τὴν ἐξ ἑτέρας, περὶ ἑνὸς βεβαίως ὁμογνωμονοῦσι, καὶ κοινῇ τὸν Ἔρωτα συνεγγράφουσιν εἰς θεοὺς ποιητῶν οἱ κράτιστοι, καὶ νομοθετῶν καὶ φιλοσόφων ἀθρόᾳ φωνῇ, ΜΕΓΑ ΕΠΑΙΝΕΟΝΤΕΣ, ὥσπερ ἔφη τὸν Πιττακὸν ὁ Ἀλκαῖος αἱρεῖσθαι τοὺς Μιτυ-
F ληναίους τύραννον. Ἡμῖν δὲ βασιλεὺς καὶ ἄρχων καὶ ἁρμοστὴς ὁ Ἔρως ὑπὸ Ἡσιόδου καὶ Πλάτωνος καὶ Σόλωνος ἀπὸ τοῦ Ἑλικῶνος εἰς τὴν Ἀκαδημίαν ἐστεφανωμένος κατάγεται, καὶ κεκοσμημένος εἰσελαύνει, πολλαῖς συνωρίσι φιλίας καὶ κοινωνίας· οὐχ οἵαν Εὐριπίδης φησίν,

— ἀχαλκεύτοις ἐζεῦχθαι πέδαις,

ψυχρὰν οὗτός γε καὶ βαρεῖαν ἐν χρείᾳ περιβαλὼν ὑπ᾽ αἰσχύνης ἀνάγκην, ἀλλ᾽ ὑπὸ πτερῶ φερομένοις ἐπὶ τὰ

F. 5. οἷαν—ὑπὸ πτερῶ φερομένοις] Aut legendum, οἵαις—φερομέναις, ut referatur ad συνωρίσι: aut οἵαν—ὑποπτέρω φερομένης referendo ad κοινωνίαν, quod vertendo expressi.

legerunt, qui citra controversiam omnibus aliis virtute videbatur anteire: sic tres illæ sectæ de diis dissentientes, aliæque suis suffragiis alio tendentes, neque facile una alterius sententiæ subscribentes, de uno Amore consentiunt, eumque unanimes in deorum numero ponunt poëtarum, philosophorum, legislatorumque maximi, *confertim collaudantes, et prolixe*, ut Pittacum Alcæus ait à Mitylenæis consensu creatum tyrannum. Nobis autem rex, princeps, et moderator ab Hesiodo, Platone, et Solone in Academiam ex Helicone deducitur, coronatusque et ornatus invehitur cum multis amicitiæ societatisque bigis: non ejusmodi amicitiæ, qualem ait Euripides

Sine ære facta contineri compede,

frigidam ille et molestam ad usum præ turpitudine prætexens amori necessitatem: sed ejusmodi, quæ alis feratur, ad

περὶ χαὶ νοσεῖ, τὴν τοῦ θεοῦ δύναμιν, οὐ τὴν αὑτοῦ μεμ-
φόμενον ἀσθένειαν. Πλὴν ἐκείνη γε δόξειεν ἂν διαφέ-
ρειν, ἣ δείκνυσιν ἥλιος μὲν ἐπὶ γῆς τὰ καλὰ καὶ τὰ αἰσ-
χρὰ τοῖς ὁρῶσιν· Ἔρως δὲ μόνων τῶν καλῶν φέγγος ἐστὶ D
καὶ πρὸς ταῦτα μόνα τοὺς ἐρῶντας ἀναπείθει βλέπειν
καὶ στρέφεσθαι, τῶν δ' ἄλλων πάντων περιορᾶν. Γῆν δὲ
κατ' οὐδὲν Ἀφροδίτην καλοῦντες ἅπτονταί τινος ὁμοιότη-
τος· καὶ γὰρ οἷα καὶ οὐρανία καὶ μίξεως χώρα τοῦ ἀθα-
νάτου πρὸς τὸ θνητόν, ἀδρανὴς δὲ καθ' ἑαυτὴν καὶ σκο-
τώδης ἡλίου μὴ προσλάμποντος, ὥσπερ Ἀφροδίτη μὴ
παρόντος Ἔρωτος. Ἐοικέναι μὲν οὖν Ἀφροδίτῃ σελήνην,
ἥλιον δὲ Ἔρωτι, τῶν ἄλλων θεῶν μᾶλλον εἰκός ἐστιν, οὐ μὴν
εἶναί γε παντάπασι τοὺς αὐτούς· οὐ γὰρ ψυχῇ σῶμα
ταὐτόν, ἀλλ' ἕτερον· ὥσπερ ἥλιον μὲν, ὁρατόν, Ἔρωτα δὲ, E
νοητόν. Εἰ δὲ μὴ δόξει πικρότερον λέγεσθαι, καὶ τἀναν-

D. 1. μόνων] Sic B. E. Mez. Vulgo, μόνον.
D. 4. κατ' οὐδὲν] Forte, κατευδίαν. Mez. delet.
D. 5. οἷα] Forte, θεία. Mez. Reisk.
E. 2. πικρότερον] Forte, γλισχρότερον vel ψυχρότερον.

boque corripitur, dei vim, non suam culpans imbecillitatem. Hoc tamen intereſt, quod Sol pulchra et turpia oſtendit in terra intuentibus: Amor tantum curat pulchrorum ſplendorem, et in hæc ſola inſpicere atque intentos eſſe ſinit, reliqua omnia jubet contemnere. Terram autem dum Veneris afficiunt vocabulo, ſimilitudinem quandam aſſequuntur: etenim admiſceri aliquid ei divinum ac cœleſte poteſt: per ſe ſola inefficax eſt ac tenebroſa Sole non affulgente, ſicut Venus abſente Amore. Probabile itaque eſt, Lunam Veneri, Solem Cupidini aſſimilem eſſe, potius quam ullis aliis e numero deorum: non eſſe tamen prorſus eoſdem: non enim idem atque anima eſt corpus, ſed ab eo diverſum: ſicut Sol etiam oculis, Amor ſola mente cernitur. Quod ſi non videatur dictum hoc acerbius, contraria pro-

τα φαίη τις ἂν ἥλιον Ἔρωτι ποιεῖν· ἀποστρέφει γὰρ ἀπὸ τῶν νοητῶν ἐπὶ τὰ αἰσθητὰ τὴν διάνοιαν, χάριτι καὶ λαμπρότητι τῆς ὄψεως γοητεύων, καὶ ἀναπείθων ἐν ἑαυτῷ καὶ περὶ αὐτὸν αἰτεῖσθαι τά τε ἄλλα καὶ τὴν ἀλήθειαν, ἑτέρωθι δὲ μηθέν·

Δυσέρωτες δὴ φαινόμεθ' ὄντες
Τοῦδ', ὅτι τοῦτο στίλβει κατὰ γῆν,

ὡς Εὐριπίδης φησί,

Δι' ἀπειροσύνην ἄλλου βιότου·

μᾶλλον δὲ λήθην ὧν Ἔρως ἀνάμνησίς ἐστιν. Ὥσπερ γὰρ
F εἰς φῶς πολὺ καὶ λαμπρὸν ἀνεγειρομένων ἐξοίχεται πάντα τῆς ψυχῆς τὰ καθ' ὕπνους φανέντα καὶ διαπέφευγεν, οὕτω τῶν γενομένων ἐνταῦθα καὶ μεταβαλόντων ἐκπλήττειν ἔοικε τὴν μνήμην καὶ φαρμάττειν τὴν διάνοιαν ὁ ἥλιος, ὑφ' ἡδονῆς καὶ θαύματος ἐκλανθανομένων ἐκείνων. Καίτοι γε ὕπαρ ὡς ἀληθῶς ἐκεῖ καὶ περὶ ἐκεῖνα τῆς ψυ-

E. 6. αἰτεῖσθαι] Aliud deſidero: αἱρεῖσθαι, vel κεῖσθαι, vel διαιτᾶσθαι: non item Reiſkii ζητεῖσθαι.

F. 6. τῆς ψυχῆς—τῶν ἐνυπνίων] Prius ex E. pro ταῖς ψυχαῖς. Reliqua forte ita explenda, δευρὶ δὲ ἀφικομένη ὄναρ ἐστι, ἐν ᾧ τὸν ἥλιον, ὡς τῶν ἐνυπνίων—. Ita et verti.

nunciavero eſſe Solis et Amoris effecta. Avertit enim Sol animum ab intelligibilibus ad ſenſilia, venuſtate et ſplendore aſpectus illiciens, perſuadenſque ut ſemper in ſe et circa ſe verſari putet cum reliqua bona tum veritatem, alibi autem nihil. Sed, ut ait Euripides,

Nimium ſed nos Amor hujus habet
Supra terras, quod ſola fulget,
Vitæ alterius bona inexpertos,
Atque ignaros quid condat humus:

aut potius eorum oblivione, quorum Amor eſt recordatio. Sicut enim cum a ſopore excitati in copioſam et ſplendidam lucem prodimus, omnia, quæ animo per ſomnium oblata fuere, evaneſcunt: ita animorum, qui ex illa in hanc vitam veniunt ac mutantur, memoriam percellere Sol, et inficere ſolet intelligentiam, cum ob voluptatem et admirationem illorum obliviſcuntur. Et quidem res ipſa ac veritas et vigilia illic eſt in altera vita: in hac vita, ut in ſom-

λισμοῦ θλιβομένων, διάχυσιν δὲ θαυμαστὴν καὶ γόνιμον, ὥσπερ ἐν φυτῷ βλαστάνοντι καὶ τρεφομένῳ, καὶ πόρους ἀνοίγουσαν εὐπειθείας καὶ φιλοφροσύνης, οὐκ ἂν ὁ πολὺς χρόνος ἐν ᾧ τό, τε σῶμα τὸ τῶν ἐρωμένων παρελθόντες ἔσω φέρονται, καὶ ἅπτονται τοῦ ἤθους ἐκκαλυμμένος τὰς ὄψεις, καθορῶσι καὶ συγγίνονται διὰ λόγων πολλὰ καὶ πράξεων ἀλλήλοις, ἂν περίκομμα τοῦ καλοῦ καὶ εἴδωλον ἐν ταῖς διανοίαις ἔχωσιν· εἰ δὲ μή, D χαίρειν ἐῶσι, καὶ τρέπονται πρὸς ἑτέρους, ὥσπερ αἱ μέλιτται πολλὰ τῶν χλωρῶν καὶ ἀνθηρῶν, μέλι δὲ οὐκ ἐχόντων, ἀπολιπόντες· ὅπου δ᾽ ἂν ἔχωσιν ἴχνος τι τοῦ θείου καὶ ἀπόῤῥοιην καὶ ὁμοιότητα σαίνουσαν, ὑφ᾽ ἡδονῆς καὶ θαύματος ἐνθουσιῶντες καὶ περιεπῶντες, εὐπαθοῦσι τῇ μνήμῃ καὶ ἀναλάμπουσι πρὸς ἐκεῖνο τὸ

C. 5. διάχυσιν] Ita jam verſ. Xyl. et Reiſk. Vulgo, διάλυσιν.
C. 7. φιλοφροσύνης] Legendum videtur, φιλοφροσύνης. Οὐκοῦν πολὺς χρόνος—.
C. 9. ἐκκαλύμενος τὰς ὄψεις] Forte, ἐκκεκαλυμμένοι τε τὰς ὄψεις: vel, ὃ, ἐκκεκαλυμμένοι τὰς ὄψεις, καθορῶσι—.
D. 1. ἔχωσιν] Forte, εὕρωσιν, aut ἕλωσιν.
D. 6. περιεπῶντες;] Malim σκιρτῶντες.
D. 7. τῇ μνήμῃ καὶ ἀναλάμπουσι] Addidi ex B. E.

morum ob tenuitatem et titillationem eliſarum, ſed diffuſionem mirabilem et ſecundam, tanquam in planta germinante et augeſcente, meatuſque aperientem obſequii et benevolentiæ) ii parvo temporis ſpatio corpus amaſiorum prætereuntes intus feruntur, indolemque attingentes eorum, quam aperto jam evolutoque viſu intuentur, invicem in actionibus et ſermonibus jam agunt; ſi quidem reliquias et ſimulachra pulchri in animis habeat amatus: ſin vero, eo valere juſſo, alio ſe conferunt, apis in morem, quæ multa viridia et florentia prætererit, quia iis nihil mellis inſit: ubi vero veſtigium aliquod divinitatis, defluxumque et ſimilitudinem abblandientem nacti ſunt, jam præ voluptate et admiratione extra ſe rapti eam adſectantur, ſuntque

μιον ἀληθῶς καὶ μακάριον καὶ φίλιον ἅπασι καὶ ἀ-πτόν.

. Τὰ μὲν οὖν πολλὰ ποιηταὶ προσπαίζοντες ἐοί-τῷ θεῷ γράφειν περὶ αὐτοῦ καὶ ᾄδειν ἐπικωμάζοντες, ι δὲ εἴρηται μετὰ σπουδῆς αὐτοῖς, εἴτε κατὰ νοῦν καὶ μόν, εἴτε σὺν θεῷ τῆς ἀληθείας ἁψαμένοις· ὧν ἓν αὶ τὸ περὶ τῆς γενέσεως,

Δεινότατον θεῶν γείνατο εὐπέδιλος Ἶρις χρυσοκόμᾳ ζεφύρῳ μιχθεῖσα·

ι τι καὶ ὑμᾶς ἀναπεπείκασιν οἱ γραμματικοί, λέ-ς πρὸς τὸ ποικίλον τοῦ πάθους καὶ τὸ ἀνθηρὸν γεγο-την εἰκασίαν. Καὶ ὁ Δαφναῖος, Πρὸς τί γὰρ, ἔφη, ν; Ἀκούετε· εἶπεν ὁ πατήρ· οὕτω γὰρ βιάζεται τὸ μενον λέγειν. Ἀνάκλασις δή που τὸ περὶ τὴν ἶριν ῆς ὄψεως πάθος, ὅταν ἡσυχῇ νοτερῷ, λείῳ δὲ καὶ μέ-πάχος ἔχοντι προσπεσοῦσα νέφει τοῦ ἡλίου ψαύσῃ ἀνάκλασιν, καὶ τ᾽ περὶ ἐκεῖνον αὐγὴν ὁρῶσα καὶ ὡς, δόξαν ἡμῖν ἐνεργάζηται τοῦ φαντάσματος ὡς ἐν

ſime affecti adverſus il-re omnibus amabile, be-diligendumque.

. Poëtæ quidem plera-a de Amore ſcribunt, ut m alludere et inter co-idum iſta canere vide-: pauca de eo ſerio di-ſive prudentes hoc et de-era, ſive deo ad verita-ucente. De his eſt e-quod de natalibus ejus : *Acerrimum deorum pe-ulchre calceata Iris, au-mixta Favonio:* niſi Grammatici fidem vobis fecerunt, qui hanc comparationem ob affectus hujus varietatem aiunt inſtitutam. Quorſum enim alio? aiebat Daphnæus. Audite, inquit pater. Sic Grammaticos cogit loqui ſpecies, quæ videtur et apparet. Iris quidem affectio eſt viſus, ejuſque refractio quædam, quando ſenſim roridæ, lævi autem et mediocriter illuminatæ nubi is incidens, ſolem refractis radiis ejuſque lumen intuetur, opinionemque nobis hanc facit, quaſi vero id quod videmus

τῷ νέφει ὄντος. Τοῦτο δὴ τὸ ἐρωτικὸν μηχάνημα καὶ σόφισμα περὶ τὰς εὐφυεῖς καὶ φιλοκάλους ψυχὰς ἀνάκλασιν ποιεῖ τῆς μνήμης ἀπὸ τῶν ἐνταῦθα φαινομένων καὶ προσαγορευομένων καλῶν, εἰς τὸ θεῖον καὶ ἐράσμιον καὶ μακάριον ὡς ἀληθῶς ἐκεῖνο καὶ θαυμάσιον καλόν. Ἀλλ' οἱ πολλοὶ μὲν ἐν παισὶ καὶ γυναιξὶν, ὥσπερ ἐν κατόπτροις, εἴδωλον αὐτοῦ φανταζόμενον διώκοντες καὶ ψηλαφῶντες, οὐδὲν ἡδονῆς μεμιγμένης λύπῃ δύνανται λαβεῖν βεβαιότε- 16
ρον· ἀλλ' οὗτος ἔοικεν ὁ τοῦ πλείονος ἴλιγγος εἶναι καὶ πλάνος, ἐν νέφεσι κενὸν ὥσπερ σκιαῖς θηρωμένου τὸ ποθούμενον· ὥσπερ οἱ παῖδες προθυμούμενοι τὴν ἶριν ἑλεῖν ταῖς χερσὶν, ἑλκόμενοι πρὸς τὸ φαινόμενον. Εὐφυοῦς δὲ ἐραστοῦ καὶ σώφρονος ἄλλος τρόπος· ἐκεῖ γὰρ ἀνακλᾶται πρὸς τὸ θεῖον καὶ νοητὸν καλόν· ὁρατοῦ δὲ σώματος ἐντυχὼν κάλλει, καὶ χρώμενος οἷον ὀργάνῳ τινὶ τῆς μνή-

A. 3. θηρωμένου] Ita correxi vulgatum θηρωμένους, quod omnes libros et editos et ſcriptos occupavit.

in ipſa inſit nube. Sic et Amoris callidum commentum in generoſis pulchrique amantibus quandam efficit refractionem memoriæ ab iis, quæ foris apparent et dicuntur pulchra, ad divinum illud, amabile, vereque beatum, et admirandum pulchrum. Verum plerique in pueris et mulieribus tanquam ſpeculis expreſſam ejus imaginem conſectantes et apprehendentes, nihil ſtabilius voluptate dolori permixta poſſunt adipiſci, videturque ea vertigo, is error eſſe vulgi, ut in nubibus tanquam umbris inane captent deſiderium, puerorum in morem, qui arcum cœleſtem manibus volunt arripere, id quod apparet ipſis captantes. Alio modo ſe ingenuus et modeſtus gerit amator: illuc enim refrangitur ad divinam et ſola mente contuendam pulchritudinem, et pulchritudine oblata viſibilis corporis, eo uti tanquam memoriæ inſtrumento ſatis habet, et in ejus conſue-

μης, ἀσπάζεται καὶ ἀγαπᾷ, καὶ συνὼν καὶ γεγηθὼς ἔτι μᾶλλον ἐκφλέγεται τὴν διάνοιαν· καὶ οὔτε μετὰ σωμάτων
B ὄντες ἐνταῦθα τουτὶ τὸ φῶς ἐπιποθοῦντες κάθηνται καὶ θαυμάζοντες· οὔτε ἐκεῖ γινόμενοι μετὰ τὴν τελευτὴν, δεῦρο πάλιν στρεφόμενοι καὶ δραπετεύοντες ἐν θύραις νεογάμων καὶ δωματίοις κυλινδοῦνται, δυσόνειρα φαντασμάτια φιληδόνων καὶ φιλοσωμάτων ἀνδρῶν καὶ γυναικῶν οὐ δικαίως ἐρωτικῶν προσαγορευομένων. Ὁ γὰρ ὡς ἀληθῶς ἐρωτικὸς ἐκεῖ γενόμενος, καὶ τοῖς καλοῖς ὁμιλήσας ᾗ θέμις, ἐπτέρωται καὶ κατωργίασται, καὶ διατελεῖ περὶ τὸν αὐτὸν θεὸν ἄνω χορεύων καὶ συμπεριπολῶν, ἄχρις οὗ πάλιν εἰς τοὺς σελήνης καὶ Ἀφροδίτης λειμῶνας ἐλθὼν καὶ καταδαρθὼν,
C ἑτέρας ἄρχηται γενέσεως. Ἀλλὰ ταῦτα μὲν, ἔφη, μείζονας ἔχει τῶν παρόντων λόγων ὑποθέσεις. Τῷ δὲ Ἔρωτι καὶ τοῦτο καθάπερ τοῖς ἄλλοις θεοῖς ἔνεστιν, ὥς Εὐριπίδης φησὶ,

B. 1. ἐπιποθοῦντες] Legendum, ἔτι ποθοῦντες.
B. 4. δυσόνειρα] Sic B. E. Vulgo, δύσοναρ.
B. 8. περὶ τὸν αὐτὸν θεὸν] Legendum, περὶ τὸν αὐτοῦ θεόν: ex Platonica ratione.

tudine lætitiaque inde percepta magis etiam intellectus ipsius inflammatur. Itaque neque hic cum corpore degentes lucem illam desiderantes et admirantes desident, neque post mortem illuc delati, huc rursum profugientes ad fores et domicilia recens maritatorum corporum obversantur, imagunculæ difficilia exhibentes somnia virorum et mulierum voluptati et corpori deditorum, et quibus nullo jure amantium nomen tribuatur.

Qui enim vere est amatorius, illuc profectus, et, quantum fas est, pulchrorum usus consuetudine, alatus est, et orgiis initiatus semper circa suum Deum versatur, sursum choreas ducens atque una circumvehens, donec rursus in Lunæ et Veneris prata veniens et obdormiens, novum ortum auspicetur. Sed hæc majoris sunt proposito argumenti. Ceterum Amori id quoque adest, quod reliquis diis adesse Euripides dixit,

τιμωμένῳ χαίρειν ἀνθρώπων ὕπο, καὶ τοὐναντίον· εὐμενέστατος γάρ ἐστι τοῖς δεχομένοις ἐμμελῶς αὐτὸν, βαρὺς δὲ τοῖς ἀπαυθαδιαζομένοις. Οὔτε γὰρ ξένων καὶ ἱκετῶν ἀδικίας ὁ Ξένιος, οὔτε γονέων ἀρὰς ὁ Γενέθλιος οὕτω διώκει καὶ μέτεισι ταχὺ, ὡς ἐρασταῖς ἀγνωμονηθεῖσιν ὁ Ἔρως ὀξὺς ὑπακούει, τῶν ἀπαιδεύτων καὶ ὑπερηφάνων κολαστής. Τί γὰρ ἂν λέγοι τις, Εὐξύνθετον καὶ Λευκομάντιδα τὴν ἐν Κύ- D
πρῳ Παρακύπτουσαν ἔτι νῦν προσαγορευομένην; Ἀλλὰ τὴν Γοργοῦς ἴσως ποινὴν οὐκ ἀκηκόατε τῆς Κρήσσης, παραπλήσια τῇ Παρακυπτούσῃ παθούσης. Πλὴν ἐκείνη μὲν ἀπελιθώθη παρακύψασα τὸν ἐραστὴν ἰδεῖν ἐκκομιζόμενον. Τῆς δὲ Γοργοῦς Ἄσανδρός τις ἠράσθη, νέος ἐπιεικὴς καὶ γένει λαμπρὸς, ἐκ δὲ λαμπρῶν εἰς ταπεινὰ πράγματα καὶ εὐτελῆ ἀφιγμένος, ὅμως αὑτὸν οὐδενὸς ἀπηξίου, ἀλλὰ τὴν Γοργὼ διὰ πλοῦτον, ὡς ἔοικε, περιμάχητον οὖσαν καὶ πολυμνήστευτον, ᾔτει γυναῖκα συγγενὴς ὤν, πολλοὺς ἔχων καὶ ἀγαθοὺς συνερῶν-

ις φιλοκάλους, καὶ φρόνημα καὶ μέγεθος μετὰ πραό-ς καὶ ἀσφαλείας, δι' ὧν τοῖς ὑπερέχουσι καὶ δυνα-ὁμιλοῦσιν οἱ πολιτικοὶ προθυμότερον. Καὶ γὰρ ἂν ὸς ᾖ φιλόκαλος, ἥδιον ὀφθαλμὸν ἰάσεται τὸν ὑπὲρ ῶν βλέποντα καὶ πολλοὺς φυλάσσοντα· καὶ φιλό-ς ψυχῆς ἐπιμελήσεται προθυμότερον, ἣν ὑπὲρ ῶν φροντίζουσαν ὁρᾷ, καὶ πολλοῖς φρονεῖν καὶ φιλο-ν καὶ δικαιοπραγεῖν ὀφείλουσαν. Καὶ γὰρ εἰ δει-ῦ περὶ ζήτησιν ὑδάτων καὶ συναγωγήν, ὥσπερ ἱστο-τὸν Ἡρακλέα καὶ πολλοὺς τῶν πάλαι, οὐκ ἂν ε φρεωρυχῶν ἐν ἐσχατιᾷ περὶ Κόρακος πέτρῃ τὴν τικὴν ἐκείνην Ἀρέθουσαν, ἀλλὰ ποταμοῦ τινος ἀεν-πηγὰς ἀνακαλύπτων πόλεσι τε καὶ στρατοπέδοις καὶ ίαις βασιλέων καὶ ἄλσεσιν. Ἀκούομεν δὴ Ὁμήρου Μίνω θεοῦ ὀαριστὴν ἀποκαλοῦντος· τοῦτο δ' ἐστίν, ὡς

D. 3. ἀσφαλείας] Forte, ἀφελείας.

tque animatum, impetuf-ngenerat, et judicia qui-d ad utilia incitetur, con-honeftatem refpicientia dinemque animi cum uetudine et cautione con-am. Atque hæc cauffa cur libentius cum emi-bus ac potentia præftan-confuefcant viri civiles. pe et medicus honeftatis ofus malit oculum fanare pro multis videat, mul-e cuftodiat: et philofo-promtior erit ad curan-animum, quem pro multis procurare videt, et qui debeat multis fapere, philofophari, ac juftitiam colere. Nam qui peritus effet aquæ inveniendæ et conducendæ, quod de Her-cule et multis veteribus narra-tur, is profecto non oblectaret fe in aliqua agri extremitate aperiendo fonte, qualis illa fubulci eft ad Corvi faxum Arethufa, fed fluminis alicujus perennes fontes propagando ad urbes, caftra, agros regum cultos atque lucos. Homerum audimus, qui Minoëm Jovis *oariftam* appellat, hoc

φησὶν ὁ Πλάτων, ὁμιλητὴν καὶ μαθητήν. Οὐδὲ γὰρ ἰδιώτας, οὐδὲ οἰκουροὺς, οὐδὲ ἀπράκτους ἠξίουν εἶναι θεῶν μαθητὰς, ἀλλὰ βασιλεῖς, οἷς εὐβουλίας γενομένης καὶ δικαιοσύνης καὶ χρηστότητος καὶ μεγαλοφροσύνης, πάντες ἔμελλον ὠφεληθήσεσθαι καὶ ἀπολαύειν οἱ χρώμενοι. Τὸ ἐρύγγιον τὸ βοτάνιον λέγουσι μιᾶς αἰγὸς εἰς τὸ στόμα λαβούσης, αὐτήν τε πρῶτον ἐκείνην καὶ τὸ λοιπὸν αἰπόλιον ἵστασθαι, μέχρις ἂν ὁ αἰπόλος ἐξέλῃ προσελθών· τοιαύτην ἔχουσιν αἱ ἀπόρροιαι τῆς δυνάμεως ὀξύτητα, πυρὸς δίκην ἐπινεμομένην τὰ γειτνιῶντα καὶ κατασκιδναμένην. Καὶ μὴν ὁ τοῦ φιλοσόφου λόγος ἐὰν μὲν ἰδιώτην ἕνα λάβῃ χαίροντα ἀπραγμοσύνῃ καὶ περιγράφοντα ἑαυτὸν, ὡς κέντρῳ καὶ διαστήματι γεωμετρικῷ, ταῖς περὶ τὸ σῶμα χρείαις, οὐ διαδίδωσιν εἰς ἑτέρους, ἀλλ' III
ἐν ἑνὶ ποιήσας ἐκείνῳ γαλήνην καὶ ἡσυχίαν, ἀπεμαράνθη καὶ συνεξέλιπεν· ἂν δὲ ἄρχοντος ἀνδρὸς καὶ πολιτικοῦ καὶ πρακτικοῦ καθάψηται, καὶ τοῦτον ἀναπλήσῃ καλο-

eſt, Platone interprete, familiarem atque diſcipulum. Non enim privatos homines, aut domi deſidentes, otioſoſve, deorum eſſe voluerunt diſcipulos: ſed reges, qui prudentiam, juſtitiam, bonitatem ac magnanimitátem conſecuti, ea ad omnium eſſent utilitatem converſuri. Eryngium herbam aiunt ſi una capella in os ſumat, ipſam primum, mox totum gregem ſubſiſtere, donec accedens, paſtor ori eam eximat: tantam vim celeritatis odor ejus habet, qui ignis in morem in proxima quæque diſſipetur atque ea occupet. At enim philoſophica doctrina, ſi in privatum aliquem incidat, qui otio gaudens, et corporis ſui uſibus ſe tanquam circulo ducto circumſcribat, non propagatur ad alios, ſed in eo ſolo tranquillitate ac quiete facta evaneſcit. Si vero in principem virum et in republica verſantem rebuſque gerendis deditum illabatur, eumque ſtudio virtutis

κἀγαθίας, πολλοὺς δι' ἑνὸς ὠφέλησεν, ὡς Ἀναξαγόρας Περικλεῖ συγγενόμενος, καὶ Δίωνι Πλάτων, καὶ Πυθαγόρας τοῖς πρωτεύουσιν Ἰταλιωτῶν. Κάτων δὲ αὐτὸς ἔπλευσεν ἀπὸ στρατείας ἐπ' Ἀθηνόδωρον· καὶ Σκηπίων μετεπέμψατο Παναίτιον, ὅτε αὐτὸν ἡ σύγκλητος ἐξέπεμψεν,

Ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορώμενον,

B ὡς φησι Ποσειδώνιος. Τί οὖν ἔδει λέγειν τὸν Παναίτιον; "Εἰ μὲν ἦς ἢ Κάτων ἢ Πολυδεύκης, ἤ τις ἄλλος ἰδιώτης, τὰ μέσα τῶν πόλεων ἀποδιδράσκειν βουλόμενος, ἐν γωνίᾳ τινὶ καθ' ἡσυχίαν ἀναλύων συλλογισμοὺς καὶ περιέλκων φιλοσόφων, ἄσμενος ἄν σε προσεδεξάμην καὶ συνῆν· ἐπεὶ δὲ υἱὸς Αἰμιλίου Παύλου τοῦ δισυπάτου γέγονας, υἱωνὸς δὲ Σκηπίωνος τοῦ Ἀφρικανοῦ τοῦ νικήσαντος Ἀννίβαν τὸν Καρχηδόνιον, οὐκ ἄν σοι προσδιαλέξωμαι."

A. 8. Σκηπίων] Ita E. constanter. Vulgo, Σκιπίων.
A. 10. ἐφορώμενον] Imo, ἐφορῶντα, ut T. II. p. 200. E.
B. 2. Κάτων] Forte, Βάτων: vel Κάστωρ ut T. V. personæ Comicæ.
B. 5. περιέλκων] Forte, περὶ ἑλίκων: aut, περὶ ἐλέγχων, ut Xyl. aut περιπλέκων, καί, ut Mez.

impleat, multis per unum prodest. Tales fuerunt Pericles Anaxagora, et Platone Dion præceptore usus, ac Pythagora principes Italorum. Cato quidem ipse ab expeditione ad Athenodorum navigavit: et Scipio Panætium arcessivit, cum esset legatus a Senatu, ut quemadmodum Posidonius ait,

Inspiceret mores hominum pravosque bonosque.

Quid, putas, fuit dicendum Panætio? *Si esses Cato, aut Pollux, aut alius quidam idiota, qui e medio urbis te subducens per otium in aliquo angulo syllogismos resolveret, ac de elenchis philosopharetur, libenter me tibi darem, tecumque essem: nunc quia Æmilii Pauli filius es, ejus qui duos gessit consulatus, nepos Scipionis Africani a quo Annibal Carthaginiensis victus est, nolo tecum philosophari.*

β'. Τὸ δὲ λέγειν ὅτι δύο λόγοι εἰσίν, ὁ μὲν ἐνδιάθετος, ἡγεμόνος Ἑρμοῦ δῶρον, ὁ δ' ἐν προφορᾷ, διάκτορος καὶ ὀργανικός, ἕωλόν ἐστι, καὶ ὑποπιπτέτω τῷ, Τοῦτο μὲν ᾔδειν πρὶν Θέογνιν γεγονέναι· ἐκεῖνο δ' οὐκ ἐνοχλήσειεν, C ὅτι καὶ τοῦ ἐνδιαθέτου λόγου καὶ τοῦ προφορικοῦ φιλία τέλος ἐστί, τοῦ μὲν πρὸς ἑαυτόν, τοῦ δὲ πρὸς ἕτερον. Ὁ μὲν γὰρ εἰς ἀρετὴν διὰ φιλοσοφίας τελευτῶν, σύμφωνον ἑαυτῷ καὶ ἄμεμπτον ὑφ' ἑαυτοῦ καὶ μεστὸν εἰρήνης καὶ φιλοφροσύνης τῆς πρὸς ἑαυτὸν ἀεὶ παρέχεται τὸν ἄνθρωπον·

Οὐ στάσις, οὐ δῆρις ἐναίσιμος ἐν μελέεσσιν·

οὐ πάθος λόγῳ δυσπειθές, οὐχ ὁρμῆς μάχη πρὸς ὁρμήν, οὐ λογισμοῦ πρὸς λογισμὸν ἀντίβασις, οὐχ ὥσπερ ἐν μεθορίῳ τοῦ ἐπιθυμοῦντος καὶ τοῦ μετανοοῦντος, τὸ τραχὺ καὶ ταραχῶδες καὶ τὸ ἡδόμενον, ἀλλ' εὐμενῆ πάντα καὶ φίλα, καὶ ποιοῦντα πλείστων τυγχάνειν ἀγαθῶν, ἑαυτῷ χαί- D

B. 10. Τὸ δὲ λέγειν] Forte proxime antecedentia quædam exciderunt: quod Mez. ſuſpicabatur.

C. 7. οὐ δῆρις ἐναίσιμος;] Xyl. οὐδέ τι δῆρις: præterea corrigendum ἀναίσιμος cum Mez. et Reiſk.

D. 1. ἀγαθῶν, ἑαυτῷ] Forte, ἀγαθῶν τῷ ἑαυτῷ, ut Jun.

II. Quod autem dicitur, orationem eſſe duplicem, unam intus contentam, Mercurii munus principis, alteram quæ enunciatur, Mercurii agitatoris, inſtrumentalem: frivolum eſt, ac ſubjiciatur huic dicto, *Noveram hoc antequam Theognis exſiſteret.* Id autem nihil moleſtiæ afferat, et intus contentæ orationis, et enunciatæ finem eſſe amicitiam, illius cum ſeipſo, hujus cum alio. Quem enim philoſophia ad virtutem perducit, is homo redditur ſibi ipſi concinens, nunquam ſeipſum culpans, paceque ſecum et amore perpetuo fruens:

Non eſt ſeditio in membris, contentio nulla eſt:

non rationi refragans animi motus, non cupiditatum inter ſe concertatio, non cogitationi contraria cogitatio, non tanquam in confinio concupiſcentiæ et pœnitentiæ aſperum ac tumultuoſum gaudium. Sed pacata omnia et amica, ac plurimorum bonorum fertilia,

ῥεῖν ἕκαστον. Τοῦ δὲ προφορικοῦ τὴν Μοῦσαν ὁ Πίνδαρος οὐ φιλοκερδῆ φησὶν οὐδ' ἐργάτιν εἶναι πρότερον, οἶμαι δὲ μηδὲ νῦν, ἀλλ' ἀμουσίᾳ καὶ ἀπειροκαλίᾳ τὸν κοινὸν Ἑρμῆν, ἐμπολαῖον καὶ ἔμμισθον γενέσθαι. Οὐ γὰρ ἡ μὲν Ἀφροδίτη ταῖς τοῦ προσπόλου θυγατεράσιν ἐμήνιεν, ὅτι

Πρῶται μύσια μηχανήσαντο καταχέειν νεανίσκων·

ἡ δ' Οὐρανία καὶ Καλλιόπη καὶ ἡ Κλειὼ χαίρουσι τοῖς ἐν ἀργυρίῳ διαδεχομένοις τὸν λόγον. Ἀλλ' ἔμοιγε δοκεῖ τὰ τῶν Μουσῶν ἔργα καὶ δῶρα μᾶλλον ἢ τὰ τῆς Ἀφροδίτης φιλοτήσια εἶναι. Καὶ γὰρ τὸ ἔνδοξον ὃ τινὲς τοῦ λόγου ποι-
E οῦνται τέλος, ὡς ἀρχὴ καὶ σπέρμα φιλίας ἠγαπήθη· μᾶλλον δ' ὅλως οἵγε πολλοὶ κατ' εὔνοιαν τὴν δόξαν τίθενται, νομίζοντες ἡμᾶς μὴ μόνον ἐπαινεῖν οὓς φιλοῦμεν. Ἀλλ'

D. 3. ἐργάτιν] Sic Xyl. Vulgo, ἐργάτιν.

D. 6. προσπόλου—νεανίσκων] G. Colleg. Nov. ὅτι πρῶται μήδεα μαχλήσαντο καταχέειν νεανίσκων.

D. 8. ἐν ἀργυρίῳ—λόγον] Legendum videtur vel ἐπ' ἀργυρίῳ διαλεγομένοις: vel, ἐπ' ἀργυρίῳ διατιθεμένοις τὸν λόγον, ut fere Reisk.

E. 3. ἡμᾶς μὴ μόνον] μὴ delent Xyl. et Mer. recte quidem, sed vel sic quid desideres.

efficientiaque ut seipso quis gaudeat. Musam vero enunciatæ orationis præsidem neque ante Pindarus dixit lucri cupidam esse atque operariam, neque, puto, nunc diceret: sed ob inscitiam atque imperitiam honesti communem Mercurium factum fuisse mercenarium atque venalem. Non enim Venus quidem administri sui filiabus succensuit,

Quod primæ juvenes in fraudem inducere turpi
Instituere dolo:

Urania autem, Calliope, et Clio gaudeant iis, qui pecuniæ gratia doctrinam profitentur. Sed mihi videntur Musarum opera et dona magis etiam quam Veneris, amicitiæ ergo data ac gratuita esse. Etenim gloria, quam nonnulli finem orationis faciunt, tanquam semen et initium amicitiæ in pretio fuit: immo autem omnino plerique gloriam pro benevolentia tribuunt, putantes eos duntaxat a nobis laudari, quos diligi-

οὗτοι μὲν, ὡς ὁ Ἰξίων διώκων τὴν Ἥραν ὤλισθεν εἰς τὴν νεφέλην, οὕτως ἀντὶ τῆς φιλίας εἴδωλον ἀπατηλὸν καὶ πανηγυρικὸν καὶ περιφερόμενον ὑπολαμβάνουσιν. Ὁ δὲ νοῦν ἔχων ἂν πολιτείαις καὶ πράξεσιν ἀναστρέφηται, δεήσεται δόξης τοσαύτης ὅση δύναμιν περὶ τὰς πράξεις ἐκ τοῦ πιστεύεσθαι δίδωσιν· οὔτε γὰρ ἡδὺ μὴ βουλομένους, οὔτε ῥᾴδιον ὠφελεῖν· βούλεσθαι δὲ ποιεῖ τὸ πιστεύειν· ὥσπερ τὸ φῶς μᾶλλόν ἐστιν ἀγαθὸν τοῖς βλέπουσιν ἢ τοῖς βλεπομένοις, οὕτως ἡ δόξα τοῖς αἰσθανομένοις ἢ τοῖς μὴ παρορωμένοις. Ὁ δὲ ἀπηλλαγμένος τοῦ τὰ κοινὰ πράττειν, καὶ συνὼν ἑαυτῷ, καὶ τἀγαθὸν ἐν ἡσυχίᾳ καὶ ἀπραγμοσύνῃ τιθέμενος, τὴν μὲν ἐν ὄχλοις καὶ θεάτροις πάνδημον καὶ ἀναπεπταμένην δόξαν, οὕτως ὡς τὴν Ἀφροδίτην ὁ Ἱππόλυτος ἄπωθεν ἁγνὸς ὢν ἀσπάζεται, τῆς δέ γε τῶν ἐπιεικῶν καὶ ἐλλογίμων οὐδὲ αὐτὸς καταφρονεῖ· πλοῦτον δὲ καὶ δόξαν ἡγεμονικὴν καὶ δύναμιν ἐν φιλίαις οὐ διώκει, οὐ μὴν οὐδὲ φεύγει ταῦτα προσόντα μετρίῳ ἤθει· οὐδὲ γὰρ τοὺς

mus. Verum hi quidem, quo modo Ixion Junonem persequens in nubem delapsus est, ita loco amicitiæ simulachrum fallax, et ad pompam compositum, atque instabile amplectuntur. Sana mente præditus autem, si in republica ac rebus gerendis versetur, tantam captabit existimationem, quanta ob fidem quæ ei habetur, potentiam ipsius actionibus conciliet. Nam neque jucundum est neque facile nolentibus prodesse: ut velint, fides faciet. Sicut enim lumen melius est videntibus, quam visis: ita gloria magis conducit sentientibus quam animadversis. Qui vero omissa reipublicæ tractatione secum vivit, felicitatem in otio et quiete ponens, is eam quidem gloriam, quæ in hominum turba theatrisque publica prostat, ita ut Hippolytus Venerem eminus, ipse castus, salutabit: bonorum tamen ac celebrium virorum de se opinionem nequaquam negliget: divitias autem, et principe dignam gloriam ac potentiam in amicitiis neque sectabitur, neque, si modice affluant, aver-

καλοὺς τῶν νέων διώκει καὶ ὡραίους, ἀλλὰ τοὺς εὐαγώγους καὶ κοσμίους καὶ φιλομαθεῖς· οὐδὲ οἷς ὥρα καὶ χάρις συνέπεται καὶ ἄνθος δεδίττεται τὸν φιλόσοφον, οὐδὲ ἀποσοβεῖ καὶ ἀπελαύνει τῶν ἀξίων ἐπιμελείας τὸ κάλλος. Οὕτως οὖν ἀξίας ἡγεμονικῆς καὶ δυνάμεως ἀνδρὶ μετρίῳ καὶ ἀστείῳ προσούσης, οὐκ ἀφέξεται τοῦ φιλεῖν καὶ ἀγα-
B πᾶν, οὐδὲ φοβηθήσεται ὁ αὐλικὸς ἀκοῦσαι καὶ θεραπευτικός.

Οἱ γὰρ Κύπριν φεύγοντες ἀνθρώπων ἄγαν
Νοσοῦσιν ὁμοίως τοῖς ἄγαν θηρωμένοις·

καὶ οἱ πρὸς ἔνδοξον οὕτως καὶ ἡγεμονικὴν φιλίαν ἔχοντες. Ὁ μὲν οὖν ἀπράγμων φιλόσοφος οὐ φεύξεται τοὺς τοιούτους· ὁ δὲ πολιτικὸς καὶ περιέξεται αὐτῶν ἀκούειν, οὐκ ἐνοχλῶν, οὐδ' ἐπισταθμεύων τὰ ὦτα διαλέξεσιν ἀκαίροις καὶ σοφιστικαῖς, βουλομένοις δὲ χαίρων καὶ διαλεγόμενος καὶ σχολάζων καὶ συνὼν προθύμως.

B. 3. ἄγαν θηρωμένοις] Vulgo, ἀγαθὰ ἡρημένοις. Illud sumsi ex marg. G. Mez. dudum probatum Viris doctis. Vid. Valckenar. ad Eur. Hippol. 113.

B. 6. ἀκύειν, οὐκ] Legendum, ἄκυσι μὲν οὐκ—. cum Mez. et Reisk.

sabitur. Nam neque formosos adolescentes sectatur, sed modestos, compositos, et discendi cupidos: neque quibus forma, flos ætatisque et venustas adest, reformidat: neque culturæ dignos ob pulchritudinem rejicit. Ita dignitate et potentia principe digna præditum virum, philosophus civilis ac moderatus, non recusabit amare ac diligere: nec verebitur aulicus appellari et blandus:

Qui dona Veneris sprenit, animi contumax,
Nimium sequente non magis culpa vacat:

itidem errant gloriam et gratiam apud principes fugiendo. Philosophus ergo rebus gerendis abstinens tales non fugiet. Civilis etiam amplectetur eos, nihil turbans nolentes, neque aures intempestivis atque sophisticis collocutionibus interpellans: sed volentibus illis disserere gaudens, colloquens, vacans, et conversans.

γʹ. Σπείρω δ' ἄρουραν δώδεκ' ἡμερῶν ὁδὸν
Βερέκυνθα χῶρον·

οὗτος εἰ μὴ μόνον φιλογεωργὸς, ἀλλὰ καὶ φιλάνθρωπος, C
ἥδιον ἂν ἔσπειρε τὴν τοσούτους τρέφειν δυναμένην, ἢ τὸ
Ἀντισθένους ἐκεῖνο χωρίδιον, ἣν μόλις αὐτῷ αὖ πάλιν
ἀνήρηκας· εἰ δὲ σε ἠρεμίην τὴν οἰκουμένην ἅπασαν ἐπι-
στρέφειν παραιτοῦμαι. Καίτοι Ἐπίκουρος τἀγαθὸν ἐν τῷ
βαθυτάτῳ τῆς ἡσυχίας, ὥσπερ ἐν ἀκλύστῳ λιμένι καὶ
κωφῷ, τιθέμενος, τοῦ εὖ πάσχειν τὸ εὖ ποιεῖν οὐ μόνον κάλ-
λιον ἀλλὰ καὶ ἥδιον εἶναί φησι. Χαρᾶς γὰρ οὐδὲν οὕτως
γόνιμόν ἐστιν ὡς χάρις· ἀλλὰ σοφὸς ἦν ὁ ταῖς Χάρισι
τὰ ὀνόματα θέμενος, Ἀγλαΐαν καὶ Εὐφροσύνην καὶ Θά-
λειαν· τὸ γὰρ ἀγαλλόμενον καὶ τὸ χαῖρον ἐν τῷ διδόντι τὴν D
χάριν πλεῖόν ἐστι καὶ καθαρώτερον. Διὸ τῷ πάσχειν εὖ
αἰσχύνονται πολλάκις, ἀεὶ δὲ ἀγάλλονται τῷ εὖ ποιεῖν· αὖ

C. 1. φιλάνθρωπος] Addendum ἦν, cum Jun.

C. 3. ἣν μόλις—παραιτοῦμαι] Corrigo, ὃ μόλις Αὐτολύκῳ ἐμπαλαίειν ἤρκεσε. Ἐγὼ δὲ ἀρουμένην τὴν οἰκουμένην ἅπασαν ἐπιστρέφειν παραιτοῦμαι: posterioris partis ratio nondum satis expedita est, in ἐγὼ δέ: de priore non est quod dubitetur, auctore Xenophonte Sympos. III, 8. quo respicitur.

III. *Bis sex dierum consero viam, solum*
Berecynthiam regionem:

Is, si non tantum agriculturæ studiosus, sed etiam humanitatis fuisset, maluisset profecto conserere agrum tot alendis sufficientem, quam Antisthenis illum agellum, qui vix Autolyco, in quo luctaretur, satis magnus erat. Equidem arando terrarum orbem subvertere recusem. Quanquam Epicurus bonum in altissima quiete, tanquam in portu ab undis tuto ac silente collocans, beneficium dare non modo pulchrius, sed etiam jucundius esse ait quam accipere. Nil enim tam est ferax gaudii, quam gratia: et sapuit, qui Gratiis nomina imposuit, Aglaiæ, Euphrosynes, et Thaliæ. Major enim et purior est lætitia dantis. Itaque sæpe pudet accipere beneficium: semper cum gaudio gratificamur aliis. Bene au-

δὲ ποιοῦσι πολλοὺς οἱ ποιοῦντες ἀγαθοὺς ὧν πολλοὶ δέονται·
καὶ τοὐναντίον, οἱ ἀεὶ διαφθείροντες ἡγεμόνας ἢ βασιλεῖς
ἢ τυράννους διάβολοι καὶ συκοφάνται καὶ κόλακες, ὑπὸ
πάντων ἐλαύνονται καὶ κολάζονται, καθάπερ οὐκ εἰς μίαν
κύλικα φάρμακον ἐμβάλλοντες θανάσιμον, ἀλλ' εἰς πη-
γὴν δημοσίᾳ ῥέουσαν, ᾗ χρωμένους πάντας ὁρῶσιν. Ὥσπερ
E οὖν τοὺς Καλλίου κωμῳδουμένους κόλακας λέγουσιν, Οὐ πῦρ
οὐ σίδηρος οὐδὲ χαλκὸς εἴργει μὴ φοιτᾶν ἐπὶ δεῖπνον,
κατὰ τὸν Εὔπολιν· τοὺς δ' Ἀπολλοδώρου τοῦ τυράννου καὶ Φα-
λάριδος καὶ Διονυσίου φίλους καὶ συνήθεις ἀπετυμπάνιζον,
ἐστρέβλουν, καὶ ἐνεπίμπρασαν, ἐναγεῖς ἐποιοῦντο καὶ κατ-
αράτους· ὡς ἐκεῖνοι μὲν ἀδικοῦντες ἕνα, τούτων δὲ πολ-
λοὺς δι' ἑνὸς τοῦ ἄρχοντος· οὕτως οἱ μὲν ἰδιώταις συνόν-
τες, αὐτοὺς ἐκείνους ποιοῦσιν ἑαυτοῖς ἀλύπους καὶ ἀβλα-
βεῖς καὶ προσηνεῖς· ὁ δὲ ἄρχοντος ἦθος ἀφαιρῶν μοχθη-
F ρόν, ἢ γνώμην ἐφ' ὃ δεῖ συγκατευθύνων, τρόπον τινὰ

E. 1. λέγουσιν] Forte, γελῶσιν, οὐ;—.

tem multis faciunt, qui eos bonos reddunt, quorum opera multi indigent: ſicut contra qui principes, reges, tyrannosque ſolent corrumpere, ſycophantæ, calumniatores, atque adulatores, ab omnibus profligantur atque puniuntur: ut qui lethale venenum non in unum aliquem injecerunt calicem, ſed in fontem publicum, et quo univerſos uti norint. Sicut igitur ridemus Calliæ illos in comœdia Eupolis traductos adulatores, quos dixit, *non igni, non aëre, non ferro arceri poſſe, ne ad cœnam commeent:* Apollodori autem tyranni, et Phalaridis, et Dionyſii amicos atque familiares ad necem verberarunt, tormentis excruciarunt, combuſſerunt, diriſque devoverunt; quod illi unum injuria afficerent, hi per unum principem multos læderent: ita qui cum privato conſueſcit philoſophus, efficit ut is ſeipſum nulla moleſtia, nullo damno afficiat, placideque vivat: qui vero principis alicujus malos mores corrigit, animumque ad officium dirigit, is quodammodo publice philo-

δημοσίᾳ φιλοσοφεῖ καὶ τὸ κοινὸν ἐπανορθοῦται, ὡς πάντες διοικοῦνται. Τοῖς ἱερεῦσιν αἰδῶ καὶ τιμὴν αἱ πόλεις νέμουσιν, ὅτι τἀγαθὰ παρὰ τῶν θεῶν οὐ μόνον αὐτοῖς καὶ φίλοις καὶ οἰκείοις, ἀλλὰ κοινῇ πᾶσιν αἰτοῦνται τοῖς πολίταις· καίτοι τοὺς θεοὺς οἱ ἱερεῖς οὐ ποιοῦσιν ἀγαθῶν δοτῆρας, ἀλλὰ τοιούτους ὄντας παρακαλοῦσι· τοὺς δ᾽ ἄρχοντας οἱ συνόντες τῶν φιλοσόφων δικαιοτέρους ποιοῦσι καὶ μετριωτέρους καὶ προθυμοτέρους εἰς τὸ εὖ ποιεῖν, ὥστε καὶ χαίρειν εἰκός ἐστι μᾶλλον.

δ΄. Ἐμοὶ δὲ δοκεῖ καὶ λυροποιὸς ἀνὴρ ἥδιον λύραν ἐργάσασθαι καὶ προθυμότερον, μαθὼν ὡς ὁ ταύτην κτησάμενος τὴν λύραν μέλλει τὸ Θηβαίων ἄστυ τειχίζειν ὡς ὁ Ἀμφίων, ἢ τὴν Λακεδαιμονίων στάσιν παύειν ἐπᾴδων καὶ παραμυθούμενος ὡς Θαλῆς· καὶ τέκτων ὁμοίως, πηδάλιον δημιουργῶν ἡσθῆναι, πυθόμενος ὅτι τοῦτο τὴν Θεμιστοκλέους ναυαρχίδα κυβερνήσει προπολεμοῦσαν τῆς Ἑλλά-

F. 2. ὡς πάντες] Jun. Mez. Reisk. ᾧ πάντες, quod probo. Xyl. ὡς πάντες διοικῶνται.

sophatur, optimumque publicum emendat, quo omnes gubernantur. Sacerdotibus civitates honorem habent, eosque venerantur, quod bona ii a diis non sibi tantum, suisque amicis et familiaribus, sed in commune omnibus civibus precantur: et vero ii deos non faciunt bonorum largitores, sed cum tales suapte sint natura, eos obsecrant. Principes philosophi cum iis versantes justiores faciunt, moderatiores, et ad beneficentiam propensiores, ut par sit eos etiam magis gaudere.

IV. Mihi quidam faber lyram quoque eo libentius videtur alacriusque fabricaturus, si sciret, eum, qui habiturus eam esset, canendo Thebas muris circumdaturum, ut fecit Amphion, aut Lacedæmoniorum seditionem pacaturum, ut fecit Thales: itemque gubernaculum conficiens, si gubernatorem eo intelligeret usurum ad regendam Themistoclis prætoriam navem propug-

δικῆς, ἢ τῆς Πομπηΐου τὰ πειρατικὰ καταναυμαχοῦντος.
Τί οὖν οἴει περὶ τοῦ λόγου τὸν φιλόσοφον, διανοούμενον
ὡς ὁ τοῦτον παραλαβὼν πολιτικὸς ἀνὴρ καὶ ἡγεμονικὸς,
B κοινὸν ὄφελός ἐστι; δικαιοδοτῶν, νομοθετῶν· κολάζων τοὺς
πονηροὺς, αὔξων τοὺς ἐπιεικεῖς καὶ ἀγαθούς; Ἐμοὶ δὲ
δοκεῖ καὶ ναυπηγὸς ἀστεῖος ἥδιον ἐργάσασθαι πηδάλιον,
πυθόμενος ὅτι τοῦτο τὴν Ἀργὼ κυβερνήσει πᾶσι μέλου-
σαν· καὶ τεκτονικὸς οὐκ ἂν οὕτω κατασκευάσαι ἄροτρον
προθύμως ἢ ἅμαξαν, ὡς τοὺς ἄξονας οἷς ἔμελλε Σό-
λων τοὺς νόμους ἐγχαράξειν. Καὶ μὴν οἱ λόγοι τῶν φι-
λοσόφων, ἐὰν ψυχαῖς ἡγεμονικῶν καὶ πολιτικῶν ἀνδρῶν
ἐγγραφῶσι βεβαίως καὶ κρατήσωσι, νόμων δύναμιν λαμ-
βάνουσιν. Ἧ, καὶ Πλάτων εἰς Σικελίαν ἔπλευσεν, ἐλπί-
ζων τὰ δόγματα νόμους καὶ ἔργα ποιήσειν ἐν τοῖς Διο-
C νυσίου πράγμασιν· ἀλλ᾽ εὗρε Διονύσιον, ὥσπερ βιβλίον
παλίμψηστον, ἤδη μολυσμῶν ἀνάπλεων, καὶ τὴν βαφὴν
οὐκ ἀνιέντα τῆς τυραννίδος, ἐν πολλῷ χρόνῳ δευσο-

nantem pro Græcia, Pompeiive prædones maritimos exſcindentis. Nonne hoc etiam de ſua doctrina ſtatuet philoſophus: ea imbutum civilem atque principem virum in publicum utilem futurum, jus dicendo, leges condendo, malos puniendo, bonos augendo? Equidem navium opificem bonum aliqua cum voluptate arbitror clavum fabricaturum, ſi audiat eo gubernandam Argo navem illam ab omnibus celebratam: neque tam alacriter carpentarius aratrum currumve conſtruet, ut axones in quos Solon ſuas ſit leges inſcripturus. Et quidem doctrina philoſophica ubi in animum principis ac civilis viri inſcripta hæſit, vim legis adipiſcitur. Atque eo nomine in Siciliam navigavit Plato ſperans ſe id conſecuturum, ut Dionyſius in agendo decretis philoſophiæ tanquam legibus uteretur, eaque factis repræſentaret: ſed Dionyſium invenit inſtar libri, in quo quæ ſcripta ſunt, rurſum expungi ſolent, jam ſordibus et maculis refertum, neque tyrannidis tincturam dimittentem, quam

ποιὸν οὖσαν καὶ δυσέκπλυτον· δρομαίους δὲ ὄντας ἔτι δεῖ τῶν χρηστῶν ἀντιλαμβάνεσθαι λόγων.

C. 4. δρομαίους δὲ] Forte, διὸ νέους δή: vel διὸ νεαροὺς δέ. Possis et conjicere καθαροὺς δέ. Mez. δροσερούς.
C. 5. λόγων] Non integer fine libellus. Mez.

temporis longinquitas penetrabilem jam et indelebilem reddiderat. Oportet autem tales, dum in cursu adhuc et motu sunt vitia, bonas amplecti disputationes.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΡΟΣ ΗΓΕΜΟΝΑ ΑΠΑΙΔΕΥΤΟΝ.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΡΟΣ ΗΓΕΜΟΝΑ ΑΠΑΙΔΕΥΤΟΝ.

PLUTARCHI

AD PRINCIPEM INERUDITUM.

α'. ΠΛΑΤΩΝΑ Κυρηναῖοι παρεκάλουν νόμους τε γραψάμενον αὐτοῖς ἀπολιπεῖν, καὶ διακοσμῆσαι τὴν πολιτείαν· ὁ δὲ παρῃτήσατο, φήσας χαλεπὸν εἶναι Κυρηναίοις νομοθετεῖν οὕτως εὐτυχοῦσιν.

Οὐδὲν γὰρ οὕτω γαῦρον

καὶ τραχὺ καὶ δύσαρκτον,

—— ὡς ἀνὴρ ἔφυ

εὐπραγίας δοκούσης ἐπιλαμβανόμενος. διὸ τοῖς ἄρχουσι χαλεπόν ἐστι σύμβουλον περὶ ἀρχῆς γενέσθαι· τὸν γὰρ λό-

I. PLATO a Cyrenæis rogatus, ut leges ipsis scriptas relinqueret, rempublicamque constitueret, recusavit: quod diceret, *difficulter Cyrenæis leges posse poni, rebus eorum ita lætis.* Ac profecto, nihil ita est petulans, ferox, atque imperio reluctans, atque est homo rebus, ut videtur, secundis fruens. Itaque difficile est imperantibus consilium de imperio dare: verentur enim doctrinam, ut-

γον ὥσπερ ἄρχοντα παραδέξασθαι φοβοῦνται, μὴ τῆς ἐξουσίας αὐτῶν τὸ ἀγαθὸν κολούσῃ τῷ καθήκοντι δουλωσάμενος. Οὐ γὰρ ἴσασι τὰ Θεοπόμπου τοῦ Σπαρτιατῶν βασιλέως, ὃς πρῶτος ἐν Σπάρτῃ τοῖς βασιλεῦσι καταμίξας τοὺς Ἐφόρους, εἶτα ὀνειδιζόμενος ὑπὸ τῆς γυναικὸς εἰ τοῖς παισὶν ἐλάττονα παραδώσει τὴν ἀρχὴν ἧς παρέλαβε, "Μείζονα μὲν οὖν, εἶπεν, ὅσῳ καὶ βεβαιοτέ-"ραν." Τὸ γὰρ σφοδρὸν ἀνεὶς καὶ ἄκρατον αὐτῆς, ἅμα τῷ φθόνῳ διέφυγε τὸν κίνδυνον. Καίτοι Θεόπομπος μὲν εἰς ἑτέρους τὸ τῆς ἀρχῆς ὥσπερ ῥεύματος μεγάλου ῥεῦθρον παροχετευσάμενος, ὅσον ἄλλοις ἔδωκεν, αὑτοῦ περιέκοψεν· ὁ δὲ ἐκ φιλοσοφίας τῷ ἄρχοντι πάρεδρος καὶ φύλαξ ἐγκατοικισθεὶς λόγος, ὥσπερ εὐεξίας τῆς δυνάμεως τὸ ἐπισφαλὲς ἀφαιρῶν, ἀπολείπει τὸ ὑγιαῖνον.

β'. Ἀλλὰ νῦν οὐκ ἔχοντες οἱ πολλοὶ τῶν βασιλέων καὶ ἀρχόντων μιμοῦνται τοὺς ἀτέχνους ἀνδριαντοποιούς, οἳ νομίζουσι μεγάλους καὶ ἁδροὺς φαίνεσθαι τοὺς κολοσσούς, ἂν

pote imperaturam ipſis, admittere, ne potentiæ ipſorum præſtantiam ea rationibus officii ſubjugans minuat. Quippe ignorant iſti Theopompi Spartanorum regis conſilium, qui cum primus Spartæ regibus Ephoros adjunxiſſet, exprobranti uxori, quod filiis regnum minus quam acce-piſſet ipſe relicturus eſſet, reſpondit, *Tanto id majus eſſe relicturum, quanto firmius*: nimia enim vehementia et immoderata regni potentia remiſſa, ſimul cum invidia periculum declinavit. Et tamen Theopompus imperio tanquam magno fluvio ad alios derivato, quantum iis dedit, tantum ſibi ipſe ademit. Doctrina autem philoſophica in principe habitans, ejusque cuſtos et tanquam conſiliarius, potentiæ veluti nimis habiti corporis majorem juſto vim detrahens, id relinquit quod eſt ſanum.

II. Sed plerique principum atque regum ob amentiam imitantur imperitos ſtatuarios, qui putant magnos ac validos

διαβεβηκότας σφόδρα καὶ διατεταμένους καὶ κεχηνότας πλάσωσι· καὶ γὰρ οὗτοι βαρύτητι φωνῆς, καὶ βλέμματος τραχύτητι, καὶ δυσκολίᾳ τρόπων, καὶ ἀμιξίᾳ διαίτης, ὄγκον ἡγεμονίας καὶ σεμνότητα μιμεῖσθαι δοκοῦσιν, οὐδ' ὁτιοῦν τῶν κολοσσικῶν διαφέροντες ἀνδριάντων, οἳ τὴν ἔξωθεν ἡρωϊκὴν καὶ θεοπρεπῆ μορφὴν ἔχοντες, ἐντός εἰσι γῆς μεστοὶ καὶ λίθου καὶ μολύβδου· πλὴν ὅτι τῶν μὲν ἀνδριάντων ταῦτα τὰ βάρη τὴν ὀρθότητα μόνιμον καὶ ἀκλινῆ διαφυλάττει, οἱ δὲ ἀπαίδευτοι στρατηγοὶ καὶ ἡγεμόνες, ὑπὸ τῆς ἐντὸς ἀγνωμοσύνης πολλάκις σαλεύονται καὶ περιτρέ-
B πονται· βάσει γὰρ οὐ κειμένῃ πρὸς ὀρθὰς ἐξουσίαν ἐποικοδομοῦντες ὑψηλὴν συναπονεύουσι. Δεῖ δέ, ὥσπερ ὁ κανὼν αὐτός, ἀστραβὴς γινόμενος καὶ ἀδιάστροφος, οὕτως ἀπευθύνει τὰ λοιπὰ τῇ πρὸς αὐτὸν ἐφαρμογῇ καὶ παραθέσει συνεφομοιῶν παραπλησίως τὸν ἄρχοντα πρῶτον αὐ-

A. 1. πλάσωσι] Sic Ald. Baſ. Xyl. Venet. Stob. p. 319. Vulg. πλάσσωσι.
B. 5. συνεφομοιῶν] Forte, συναφομοιῶν, vel cum Stob. συνεξομοιῶν: utrumque Plutarcho frequens: vulgatum hic ſemel exſtat.
B. 5. αὐτὸν—ἀρχὴν] Stob. ἀρχὴν—ψυχήν: in priori aſſentiuntur Venet. et Colleg. Nov.

viſum iri coloſſos, ſi eos admodum divaricatis cruribus, diſtentoſque et hiantes fingant. Sic enim et ipſi vocis gravitate, et vultus torvitate, morumque importunitate, et averſatione convictus videntur majeſtatem imperii præ ſe ferre, nihil omnino differentes a coloſſicis iſtis ſtatuis, quæ foris heroica aut divina ornatæ forma, intus terra, lapidibus, et plumbo ſunt repletæ. Hoc intereſt, quod ſtatuarum iſtarum moles rectitudinem ſervat perpetuam ſine inclinatione, ineruditi autem principes ab interna ſua inſcitia ſæpenumero labefactantur atque ſubvertuntur; baſi enim non ſitæ ad lineam et angulos rectos poteſtatem ſuperſtruentes excelſam, una vergunt. Enimvero ſicut neceſſe eſt primo omnium ipſam regulam rectam et firmam eſſe, atque ita deinde ea, quibus applicatur, ipſa quoque ſui ſimilia facere atque ad rectitudinem perducere: ita oportet princi-

τὸν κτησάμενον ἐν αὑτῷ καὶ κατευθύναντα τὴν ἀρχήν, καὶ καταστησάμενον τὸ ἦθος, οὕτω συναρμόττειν τὸ ὑπήκοον· οὔτε γὰρ πίπτοντός ἐστιν ὀρθοῦν, οὔτε διδάσκειν ἀγνοοῦντος, οὔτε κοσμεῖν ἀκοσμοῦντος, ἢ τάττειν ἀτακτοῦντος, ἢ ἄρχειν μὴ ἀρχομένου. Ἀλλ' οἱ πολλοὶ κακῶς φρονοῦντες οἴονται πρῶτον ἐν τῷ ἄρχειν ἀγαθὸν εἶναι τὸ μὴ ἄρχεσθαι, καὶ ὅ γε Περσῶν βασιλεὺς πάντας ἡγεῖτο δούλους πλὴν τῆς αὑτοῦ γυναικός, ἧς μάλιστα δεσπότης ὤφειλεν εἶναι.

γ'. Τίς οὖν ἄρξει τοῦ ἄρχοντος; Ὁ νόμος, ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθανάτων, ὥς φησι Πίνδαρος, οὐκ ἐν βιβλίοις ἔξω γεγραμμένοις, οὐδέ τισι ξύλοις, ἀλλ' ἔμψυχος ὢν ἐν ἑαυτῷ λόγος, ἀεὶ συνοικῶν καὶ παραφυλάττων, καὶ μηδέποτε τὴν ψυχὴν ἐῶν ἔρημον ἡγεμονίας. Ὁ μὲν γὰρ Περσῶν βασιλεὺς ἕνα τῶν κατευναστῶν εἶχε πρὸς τοῦτο τεταγμένον, ὥστε ἕωθεν εἰσιόντα λέγειν

C. 7. γεγραμμένοις—ἑαυτῷ] Primum mutandum in γεγραμμένῳ cum Mss. Alterum mutem in ἐν ἀνθρώπῳ: Colleg. Nov. ἐν ἑαυτῷ.

pem prius in se ipso imperium moresque recte constituere atque dirigere, postea ei subditos accommodare: nam neque cadentis est erigere, neque componere incompositi, neque ordinare inordinati, neque imperare nulli imperio subditi. Sed plerique inepta decepti sententia, primum hoc putant esse in imperio bonum, nulli subesse imperio: atque adeo rex Persarum omnes pro servis habuit, excepta sua uxore, cujus maxime debebat esse dominus.

III. Quis ergo imperabit principi? Lex, omnium rex mortalium atque immortalium, ut ait Pindarus, non ea foris scripta in libris, aut lignis insculpta, sed viva in ipsius corde ratio, semper una habitans atque excubans, et animum nunquam sinens esse principatus vacuum. Sane Persarum rex unum de cubicularis ad hoc habebat constitutum, ut mane ad regem ingrediens diceret, *Surge, O*

αὐτὸν, "Ἀνάστα, ὦ βασιλεῦ, καὶ φρόντιζε πραγμάτων ὧν σε φροντίζειν ὁ Μεσορομάσδης ἠθέλησε" πεπαιδευμένου καὶ σωφρονοῦντος ἄρχοντος ἐντὸς ἐστιν, φθεγγόμενος ἀεὶ καὶ παρακελευόμενος. Πολέ- ἔλεγε τὸν Ἔρωτα εἶναι θεῶν ὑπηρεσίαν εἰς νέων ειαν· ἀληθέστερον δ' ἂν τις εἴποι, τοὺς ἄρχοντας ετεῖν θεῷ περὶ ἀνθρώπων ἐπιμέλειαν καὶ σωτη- τως ὧν θεὸς δίδωσιν ἀνθρώποις καλῶν καὶ ἀγαθῶν νέμωσι, τὰ δὲ φυλάττωσιν.

Ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα,
Καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις;

καθίησιν ἀρχὰς σπερμάτων προσηκόντων, γῆ δὲ ωσιν· αὔξεται δὲ τὰ μὲν ὄμβροις, τὰ δὲ ἀνέμοις, ἄστροις ἐπιθαλπόμενα καὶ σελήνῃ· κοσμεῖ δὲ ἥλιος , καὶ πᾶσι τοῦτο δὴ τὸ παρ' αὐτοῦ φίλτρον ἐγκε-. Ἀλλὰ τῶν τοσούτων καὶ τηλικούτων ἃ θεοὶ χαρί- δώρων καὶ ἀγαθῶν οὐκ ἔστιν ἀπόλαυσις οὐδὲ χρῆσις χα νόμου καὶ δίκης καὶ ἄρχοντος. Δίκη μὲν οὖν

curam rerum gere, *curare Oromasdes vo-* ruditus et cordatus intus habet, qui hoc n occinat et admo- Etenim Polemo deo- ministrum esse dice- orem, ad adolescenti- urationem destinatum. autem hoc dixeris, s dei esse administros adam hominum salu- quæ dii bona homini- giuntur, ea partim dis- , partim conservent.

Vides sublime fusum immoderatum ætherem,
Qui tenero terram circumvectu amplectitur?

Is quidem principia demittit seminum convenientium, terra autem ea vegetat: augentur alia imbribus, alia ventis, alia calore siderum lunæque fovente: omnia autem ea Sol ornat, et illum quem ferunt amoris illicem indit. Et tamen istis tot tantisque donis quæ dii largiuntur, sine lege, justitia, et principe frui non est permissum. Etenim jus-

νόμου τέλος ἐστίν· νόμος δὲ, ἄρχοντος ἔργον· ἄρχων δὲ, εἰκὼν θεοῦ τοῦ πάντα κοσμοῦντος, οὐ Φειδίου δεόμενος πλάττοντος, οὐδὲ Πολυκλείτου καὶ Μύρωνος, ἀλλ᾽ αὐτὸς αὑτὸν εἰς ὁμοιότητα θεῷ δι᾽ ἀρετῆς καθιστὰς, καὶ δημιουργῶν ἀγαλμάτων τὸ ἥδιστον ὀφθῆναι καὶ θεοπρεπέστατον. Οἷον F δὲ ἥλιον ἐν οὐρανῷ περικαλλὲς εἴδωλον ἑαυτοῦ καὶ σελήνην ὁ θεὸς ἐνίδρυσε, τοιοῦτον ἐν πόλεσι μίμημα καὶ φέγγος ἄρχων,

——————Ὅστι θεουδὴς
Εὐδικίας ἀνέχῃσι·——

τουτέστι θεοῦ λόγον ἔχων διάνοιαν, οὐ σκῆπτρον, οὐδὲ κεραυνὸν, οὐδὲ τρίαιναν, ὡς ἔνιοι πλάττουσιν ἑαυτοὺς καὶ γράφουσι, τῷ ἀνεφίκτῳ ποιοῦντες ἐπίφθονον τὸ ἀνόητον. Νεμεσᾷ γὰρ ὁ θεὸς τοῖς ἀπομιμουμένοις βροντὰς καὶ κεραυνοὺς καὶ ἀκτινοβολίας· τοὺς δὲ τὴν ἀρετὴν ζηλοῦντας αὐτοῦ, καὶ πρὸς τὸ καλὸν καὶ φιλάνθρωπον ἀφομοιοῦντας ἑαυτοὺς, ἡδόμενος αὔξει, καὶ μεταδίδωσι τῆς περὶ αὐτὸν

F. 7. διάνοιαν] Malim δικαιοσύνην, vel εὔνοιαν, vel εὐνομίαν.

titia legis eſt finis: lex principis opus: princeps dei imago omnia digerentis, neque is opus habet Phidia qui fingat, aut Polycleto, vel Myrone: ſed virtutis opera ſeipſum deo quam ſimillimum facit, jucundiſſimumque ſpectat opus, et diis chariſſimum. Quale vero elegantiſſimum in cœlo ſimulachrum ſui Deus Solem atque Lunam infixit, tale in civitatibus ejus exemplum eſt atque lumen princeps,

Jura Dei ſimilis qui dat mortalibus æqua:

ſcilicet recta præditus ratione, idque habens divinum, non ſceptrum, non fulmen, non tridentem: quomodo nonnulli ſe pingi ac fingi jubentes, ſtultitiam ſuam invidiæ expoſuerunt, dum affectant ea quæ conſequi nequeunt. Succenſet enim Deus tonitrua et fulmina radiorumque projectus imitantibus: qui vero virtutem ipſius æmulantur, et honeſtate humanitateque ipſum referre conantur, hos ſtudio eorum delectatus auget, ſuaque eos æquitate, juſtitia, ve-

εὐνομίας καὶ δίκης καὶ ἀληθείας καὶ πραότητος· ὧν θειότερον οὐ πῦρ ἐστιν, οὐ φῶς, οὐχ ἡλίου δρόμος, οὐκ ἀνατολαὶ καὶ δύσεις ἄστρων, οὐ τὸ ἀΐδιον καὶ ἀθάνατον. Οὐ γὰρ χρόνῳ ζωῆς ὁ θεὸς εὐδαίμων, ἀλλὰ τῆς ἀρετῆς τῷ ἄρχοντι· τοῦτο γὰρ θεῖόν ἐστι· καλὸν δὲ αὐτῆς καὶ τὸ ἀρχόμενον.

δ'. Ἀνάξαρχος μὲν οὖν ἐπὶ τῷ Κλείτου φόνῳ δεινοπαθοῦντα παραμυθούμενος Ἀλέξανδρον, ἔφη, "Καὶ
B "τῷ Διὶ τὴν Δίκην εἶναι καὶ τὴν Θέμιν παρέδρους, ἵνα "πᾶν πραττόμενον ὑπὸ βασιλέως, θεμιτὸν δοκῇ καὶ "δίκαιον" οὐκ ὀρθῶς οὐδ' ὠφελίμως τὴν ἐφ' οἷς ἥμαρτε μετάνοιαν αὐτοῦ τῷ πρὸς τὰ ὅμοια θαρρύνειν ἰώμενος. Εἰ δὲ δεῖ ταῦτα εἰκάζειν, ὁ μὲν Ζεὺς οὐκ ἔχει τὴν Δίκην πάρεδρον, ἀλλ' αὐτὸς Δίκη καὶ Θέμις ἐστὶ, καὶ νόμων ὁ πρεσβύτατος καὶ τελειότατος. Οἱ παλαιοὶ

A. 11. Καὶ τῷ Διὶ—παρέδρους] Ita ex Vit. Alex. p. 699. A. emendandum passim monuerunt viri docti: jam Xyl. ita etiam vertens, ut Amiot. postea Leopard. Emend. III, 10. Petav. ad Themist. p. 51. Ed. Flex. Junius. Mez. M. Solanus ad Vit. Plut. Alex. T. IV. p. 567. Ergo nolui vulgatam monstri similem relinquere, Κλείτῳ δὲ τὴν δίκην εἶναι, καὶ τὴν τῶν θεῶν πάρεδρον. Ultimum παρέδρους est ex Venet.

ritate, ac mansuetudine impertit: quibus nihil est divinius, non ignis, non lumen, non Solis cursus, non siderum ortus atque obitus, non ipsa perpetuitas atque æternitas. Non enim ob tempus vitæ beatus est Deus, sed virtutis principatu: id enim divinum est: et pulchrum idipsum, quod ab ea regitur.

IV. Sane Anaxarchus Alexandrum consolans ob Cliti cædem animi se angentem, *An ignoras*, aiebat, *Jus et Fas Jovi assidere, ut quidquid rex agat, id fas justumque putetur?* non recte ille pœnitentiam delicti, animo ad alia audendum similia exhortando ejus, amoliens. Quod si conjecturis hæc sunt examinanda, non profecto Jovi Justitia assidet, sed ipse Jus et Fas est, et omnium legum antiquissima et perfectissima. Atque

οὕτω λέγουσι καὶ γράφουσι καὶ διδάσκουσιν, ὡς ἄνευ δίκης ἄρχειν μηδὲ τοῦ Διὸς καλῶς δυναμένου· ἡ δέ γε παρθένος ἐστὶ, καθ' Ἡσίοδον, ἀδιάφθορος, αἰδοῦς καὶ σωφροσύνης καὶ ὠφελείας ἔνοικος· ὅθεν ΑΙΔΟΙΟΥΣ προσαγο- C ρεύουσι τοὺς βασιλεῖς· μάλιστα γὰρ αἰδεῖσθαι προσήκει τοῖς ἥκιστα φοβουμένοις. Φοβεῖσθαι δὲ δεῖ τὸν ἄρχοντα τοῦ παθεῖν κακῶς μᾶλλον τὸ ποιῆσαι· τοῦτο γὰρ αἴτιόν ἐστιν ἐκείνου, καὶ οὗτός ἐστιν ὁ φόβος τοῦ ἄρχοντος φιλάνθρωπος καὶ οὐκ ἀγεννὴς, ὑπὲρ τῶν ἀρχομένων δεδιέναι μὴ λάθωσι βλαβέντες,

> Ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσονται ἐν αὐλῇ,
> Θηρὸς ἀκούσαντες κρατερόφρονος,

οὐχ ὑπὲρ αὑτῶν, ἀλλ' ὑπὲρ τῶν φυλαττομένων. Ὁ δὲ Ἐπαμεινώνδας εἰς ἑορτήν τινα καὶ πότον ἀνειμένως τῶν Θηβαίων ῥυέντων, μόνος ἐφώδευε τὰ ὅπλα καὶ τὰ D τείχη, Νήφειν, λέγων, καὶ ἀγρυπνεῖν ὅπως ἐξῇ τοῖς

C. 1. ὠφελείας ἔνοικος] Legendum cum Xyl. et Reisk. ἀφελείας σύνοικος.

propterea Veteres iſtæc finxerunt docueruntque, ut oſtenderent ſine juſtitia, ne Jovem quidem recte potuiſſe imperare. Illa autem virgo eſt, ut ait Heſiodus, incorrupta, verecundiæ, pudicitiæ, et veritatis contubernalis. Atque hinc reges venerandi vocantur: maxime enim venerationem merentur, qui minime metuunt. Debet autem princeps magis metuere ne quid faciat mali, quam ne quid patiatur: illud enim hujus eſt cauſſa. Atque hic metus humanus eſt principis et non degener, timere ſubditis, ne quod imprudentibus accidat malum:

> *Qualis propter oves canibus metus acris in aula*
> *Incidit, audita eſt ubi fors fera:*

non pro ſe, ſed pro cuſtodiæ ſuæ commiſſis. Epaminondas quidem, cum feſto quodam die Thebani effuſius ſe compotationi dediſſent, ſolus circumiens arma et muros luſtrabat, *ſobrium ſe eſſe ac vigi-*

ἄλλοις μεθύειν καὶ καθεύδειν. Καὶ Κάτων ἐν Ἰτύκῃ τοὺς ἄλλους ἅπαντας ἀπὸ τῆς ἥττης ἐκήρυττε πέμπειν ἐπὶ θάλατταν· καὶ ἐμβιβάσας, εὔπλοιαν εὐξάμενος ὑπὲρ αὐτῶν, εἰς οἶκον ἐπανελθὼν, ἑαυτὸν ἀπέσφαξε· διδάξας ὑπὲρ τίνων δεῖ τὸν ἄρχοντα τῷ φόβῳ χρῆσθαι, καὶ τίνων δεῖ τὸν ἄρχοντα καταφρονεῖν. Κλέαρχος δὲ ὁ Ποντικὸς τύραννος εἰς κιβωτὸν ἐνδυόμενος ὥσπερ ὄφις ἐκάθευδε.
1 Καὶ Ἀριστόδημος ὁ Ἀργεῖος εἰς ὑπερῷον οἴκημα θύραν ἔχον ἐπιρρακτὴν, ἧς ἐπάνω τιθεὶς τὸ κλινίδιον, ἐκάθευδε μετὰ τῆς ἑταίρας· ἡ δὲ μήτηρ ἐκείνης ὑφεῖλκε κάτωθεν τὸ κλιμάκιον, εἶτα ἡμέρας πάλιν προσετίθει φέρουσα. Πῶς οὗτος, οἴεσθε, τὸ θέατρον ἐπεφρίκει, καὶ τὸ ἀρχεῖον, τὸ βουλευτήριον, τὸ συμπόσιον, ὁ τὸν θάλαμον ἑαυτῷ δεσμωτήριον πεποιηκώς; Τῷ γὰρ ὄντι δεδίασιν οἱ βασιλεῖς ὑπὲρ τῶν ἀρχομένων, οἱ δὲ τύραννοι τοὺς ἀρχομένους· διὸ τῇ δυνάμει τὸ δέος συναύξουσι· πλειόνων γὰρ ἄρχοντες πλείονας φοβοῦνται.

E. 1. Ἀριστόδημος] Ἀρίστιππος legendum ex Plut. Arat. p. 1039. B.

lere, dicens, *ut aliis ebriis esse ac dormire liceret*. Et Cato Uticæ cum reliquos a clade universos per præconem ad mare convocasset, inque naves imposuisset, felicem iis precatus navigationem, domum rediens seipse interfecit, docens, pro quibus princeps metum gerere, quæ debeat contemnere. At Clearchus Ponticus tyrannus, in cistam irrepens anguis in morem dormiebat. Et Aristodemus Argivorum tyrannus, sponda in sublimi conclavi posita, supra januam pensilem, cum amica dormiebat, et amicæ mater, ubi ascendissent, scalas removebat, rursumque luce facta apponebat. Quomodo, putas, hic prætorium, theatrum, curiam, convivium metuebat, qui de cubili suo carcerem fecerat? Re enim vera principes a subditis, tyranni subditos metuunt: itaque horum cum potentia crescit metus, et quo pluribus imperant, eo plures timent.

ε. Οὐ γὰρ εἰκὸς οὐδὲ πρέπον, ὥσπερ ἔνιοι φιλόσοφοι λέγουσι, τὸν θεὸν ἐν ὕλῃ πάντα πασχούσῃ καὶ πράγμασι μυρίας δεχομένοις ἀνάγκας καὶ τύχας καὶ μεταβολὰς, ὑπάρχειν ἀναμεμιγμένον· ἀλλ' ἡμῖν ἄνω που περὶ τὴν ἀεὶ κατὰ ταὐτὰ οὕτω φύσιν ἔχουσαν ἱδρυμένος ἐν βάθροις ἁγίοις, ᾗ, φησι Πλάτων, εὐθεία περαίνει κατὰ φύσιν περιπορευόμενος· οἷον δὲ ἥλιον ἐν οὐρανῷ μίμημα τὸ περικαλλὲς αὐτοῦ δι' ἐσόπτρου εἴδωλον ἀναφαίνεται τοῖς ἐκεῖνον ἐνορᾷν δι' αὐτοῦ δυνατοῖς, οὕτω τὸ ἐν πόλεσι φέγγος εὐδικίας καὶ λόγου τοῦ περὶ αὐτὴν ὥσπερ εἰκόνα καθίστησιν, ἣν οἱ μακάριοι καὶ σώφρονες ἐκ φιλοσοφίας ἀπογράφονται, πρὸς τὸ κάλλιστον τῶν πραγμάτων πλάττοντες ἑαυτούς. Ταύτην δὲ οὐδὲν ἐμποιεῖ τὴν διάθεσιν ἢ λόγος ἐκ φιλοσοφίας παραγενόμενος· ἵνα μὴ πάσχωμεν τὸ τοῦ Ἀλεξάνδρου, ὃς ἐν Κορίνθῳ Διογένην θεασάμενος,

F. 4. ἀλλ' ἡμῖν—ἔχουσαν] Lego, ἀλλ' ὁ μὲν ἄνω που περὶ τὴν ἀεὶ κατὰ ταυτὰ καὶ ὡσαύτως ἔχουσαν—.
F. 10. περὶ αὐτὴν] Legendum, περὶ αὐτόν. Mez.
A. 2. πραγμάτων πλάττοντες] Mez. παραδειγμάτων πλάττοντες: ultimum recepi, quando etiam in Colleg. Nov. exſtabat. Vulgo, πραγμάτων πράττοντες. Xyl. τάττοντες.

V. Non enim probabile eſt, neque convenit, quod nonnulli philoſophorum putant, deum permixtum eſſe materiæ omnia ſuſtinenti, et infinitas rerum neceſſitates, caſus, mutationeſque perpetienti: ſed is quidem ſupra alicubi apud naturam ſempiternam, eodemque ſemper modo affectam collocatus ſupra ſacra, ut ait Plato, fundamenta, recta ſecundum naturam proficiſcens ad finem pergit. Sicut autem in cœlo pulcherrimum ſui documentum poſuit, in quo tanquam ſpeculo gnaris ſe cernendum præbet: ita in civitatibus juſtitiæ ſplendor quandam divinæ ſapientiæ imaginem reddit, quam beati et prudentes e philoſophia deſcribunt, ad rem pulcherrimam ſtudium ſuum adjungentes. Ceterum hanc animi affectionem nihil aliud efficit quam doctrina philoſophica: ne idem nobis uſu veniat, quod Alexandro, qui cum eſſet Diogenem Co-

εὐφυΐαν ἀγαπήσας καὶ θαυμάσας τὸ φρόνημα καὶ …γεθος τοῦ ἀνδρὸς, εἶπεν, "Εἰ μὴ Ἀλέξανδρος …ν, Διογένης ἂν ἤμην" ὀλίγου δεῖν εἰπεῖν τὴν περὶ εὐτυχίαν καὶ λαμπρότητα καὶ δύναμιν, ὡς κώλυσιν καὶ ἀσχολίαν βαρυνόμενος, καὶ ζηλοτυπῶν τὸν …α καὶ τὴν πήραν, ὅτι τούτοις ἦν ἀνίκητος καὶ ἀν…ς Διογένης, οὐχ, ὡς ἐκεῖνος, ὅπλοις καὶ ἵπποις καὶ …ις. Ἐξῆν οὖν φιλοσοφοῦντα καὶ τῇ διαθέσει γίνεσ…ιογένην, καὶ τῇ τύχῃ μένειν Ἀλέξανδρον, καὶ διὰ …ενέσθαι Διογένην μᾶλλον, ὅτι ἦν Ἀλέξανδρος, ὡς …ύχην μεγάλην πολὺ πνεῦμα καὶ σάλον ἐχούσαν, …ς πολλοῦ καὶ κυβερνήτου μεγάλου δεόμενον.

. Ἐν μὲν γὰρ τοῖς ἀσθενέσι καὶ ταπεινοῖς καὶ ἰδιώταις, …δυνάτῳ μιγνύμενον τὸ ἀνόητον εἰς τὸ ἀναμάρτητον …ει, ὥσπερ ὀνείρασι φαύλοις τις ἀνία τὴν ψυχὴν …ράττει, συνεξαναστῆναι ταῖς ἐπιθυμίαις μὴ δυνα-

…—ἀνίαν] Legendum, ἄνοια—κῦρα: prius Mez. monuit, alterum habet Stob.

contemplatus, miratus …usque hominis ingeni…gnanimitatemque, dix… *Alexander essem, Dio… se vellem*: tantum non oneratus felicitate, …re ac potentia sua tan… impedimentis virtutis …otii, æmulansque pal… …peram, *his inexpugna… …t invictum se præstat …es, ut armis Alexander …s ac sarissis*. Atqui …ei philosophanti et ani…ri Diogenem, et fortuna manere Alexandrum, eoque magis fieri Diogenem, quia erat Alexander, cui ad magnam fortunam multisque ventis et fluctibus agitatam opus erat valido firmamento atque gubernatore.

VI. Apud humiles enim et plebeios imbecillitati admixta stultitia peccandi occasione destituitur: et stultitia tanquam somniis vitiosis animus exagitatur, cum non habeat tantum virium ut cupiditatibus obsequatur. At po-

μανίαν· ἡ δὲ ἐξουσία προσλαβοῦσα τὴν κακίαν, ἀνίαι τοῖς πάθεσι προστίθησι. Καὶ τὸ τοῦ Διονυσίου ἀληθές ἐστιν· ἔφη γὰρ, Ἀπολαύειν μάλιστα τῆς ἀρχῆς ὅταν ταχέως ἃ βούλεται ποιῇ. Μέγας οὖν ὁ κίνδυνος βούλεσθαι ἃ μὴ δεῖ, τὸν ἃ βούλεται ποιεῖν δυνάμενον,

Αὐτίκ' ἔπειτά γε μῦθος ἔην, τετέλεστο δὲ ἔργον.

Ὀξὺν ἡ κακία διὰ τῆς ἐξουσίας δρόμον ἔχουσα, πᾶν πάθος ἐξωθεῖ, ποιοῦσα τὴν ὀργὴν, φόνον· τὸν ἔρωτα, μοιχείαν· πλεονεξίαν, δήμευσιν·

Αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἔην;

καὶ ἀπόλωλεν ὁ προσκρούσας· ὑπόνοια, καὶ τέθνηκεν ὁ διαβληθείς. Ἀλλ' ὥσπερ οἱ φυσικοὶ λέγουσι τὴν ἀστραπὴν D
τῆς βροντῆς ὑστέραν μὲν ἐκπίπτειν, ὡς αἷμα τραύματος, προτέραν δὲ φαίνεσθαι, τὸν μὲν ψόφον ἐκδεχομένης τῆς ἀκοῆς, τῷ δὲ φωτὶ τῆς ὄψεως ἀπαντώσης· οὕτως ἐν ταῖς ἀρχαῖς φθάνουσιν αἱ κολάσεις τὰς κατηγορίας, καὶ προεκπίπτουσιν αἱ καταδίκαι τῶν ἀποδείξεων.

tentiæ ubi pravitas acceſſit, robur motibus animi additur. Et verum eſt illud Dionyſii, qui *tum maxime ſe frui imperio*, aiebat, *cum celeriter faceret quæ vellet*. Valde autem magnum periculum eſt, ne, cui licet facere quod vult, is velit, quod non debet.

Nam ſimul ac dictum verbum eſt, factum ilicet exſtat.

Pravitas a potentia celerem nacta curſum, omnes animi motus in facta expellit: de ira cædem, de amore adulterium, de avaritia publicationem alienorum bonorum facit.

Nam ſimul ac dictum eſt,

periit qui offenderat: ſimul ac ſuſpicio incidit, interficitur qui delatus fuit. Ac ſicut phyſici dicunt fulgur tonitru poſterius erumpere, ut ſanguis vulnus ſequitur, prius tamen videri, auditu ſonum exſpectante, viſu lumini occurrente: ſic in imperiis ſupplicia accuſationibus antevertunt, et damnatio criminis demonſtrationem:

Ἐπεὶ γὰρ ἤδη θυμὸς οὐκ ἔτ' ἀντίσχει,
Θινῶδες ὡς ἄγκιστρον ἀγκύρας σάλον,

ἂν μὴ βάρος ἔχων λογισμὸς ἐπιθλίβῃ καὶ πιέζῃ τὴν ἐξουσίαν, μιμουμένου τὸν ἥλιον τοῦ ἄρχοντος, ὃς ὅταν
E ὕψωμα λάβῃ μέγιστον, ἐξαρθεὶς ἐν τοῖς βορείοις, ἐλάχιστα κινεῖται, τῷ σχολαιοτέρῳ τὸν δρόμον εἰς ἀσφαλὲς καθιστάμενος.

ζ'. Οὐδὲ γὰρ λαθεῖν οἷόν τε τὰς κακίας ἐν ταῖς ἐξουσίαις· ἀλλὰ τοὺς μὲν ἐπιληπτικοὺς, ἂν ἐν ὕψει τινὶ γένωνται καὶ περιενεχθῶσιν, ἴλιγγος ἴσχει καὶ σάλος, ἐξελέγχων τὸ πάθος αὐτῶν, τοὺς δὲ ἀπαιδεύτους καὶ ἀμαθεῖς ἡ τύχη μικρὸν ἐκκουφίσασα πλούτοις τισὶν ἢ δόξαις ἢ ἀρχαῖς μετεώρους γενομένους, εὐθὺς ἐπιδείκνυσι πίπτοντας· μᾶλλον δὲ, ὥσπερ τῶν κενῶν ἀγγείων οὐκ ἂν διαγνοίης τὸ ἀκέραιον καὶ πεπονθὸς, ἀλλ' ὅταν ἐγχέῃς,
F φαίνεται τὸ ῥέον· οὕτως αἱ σαθραὶ ψυχαὶ τὰς ἐξουσίας μὴ στέγουσαι, ῥέουσιν ἔξω ταῖς ἐπιθυμίαις, ταῖς ὀργαῖς, ταῖς ἀλαζονείαις, ταῖς ἀπειροκαλίαις. Καὶ τί δεῖ ταῦτα

Impellit ira namque statim, resistere
Ut curvus fluctibus uncus ancbora haud valet:

nisi gravitate præpedita ratio compescat reprimatque potentiam; ut scilicet Solem imitetur princeps, qui ad summam evectus altitudinem in partibus septentrionalibus, lentissime movetur, tarditate cursum tutum reddens.

VII. Nam ne latere quidem vitia potentium possunt. Sed sicut morbo comitiali laborantes si in frigore versentur, vertigine corripiuntur et agitatione morbum eorum arguente: ita fortuna ubi ineruditos et ineptos homines aliquantulum opibus, gloria, aut principatu extulit, statim eorum ruinam demonstrat. Atque adeo sicut inter vacua vasa non facile discernere possis, quod eorum integrum, quod sit vitiosum: ubi aliquid infuderis, statim apparet quod perfluat: ita animæ rimis fatiscentes infusam potentiam non continent, sed foras diffluunt cupiditatibus, iris, arrogantiis, ineptiis. Et quid

ΠΛΟΥΤΑΡΧΟΥ

Ι ΠΡΕΣΒΥΤΕΡΩι ΠΟΛΙΤΕΥΤΕΟΝ.

PLUTARCHI

SENI RESPUBLICA GERENDA SIT.

ΟΤΙ μὲν, ὦ Εὔφανες, ἐπαινέτης ὢν Πινδάρου, πολλάκις ἔχεις διὰ στόματος, ὡς εἰρημένον πιθανῶς ὑπ' αὐτῷ,

Τιθεμένων ἀγώνων
Πρόφασις ἀρετὰν
Εἰς αἰπὺν ἔβαλε σκότον,

γνοοῦμεν. Ἐπειδὴ δὲ πλείστας αἱ πρὸς τοὺς πο-
ς ἀγῶνας ἀποκνήσεις καὶ μαλακίαι προφάσεις ἔχου-
ελευταίαν ὥσπερ τὴν ἀφ' ἱερᾶς ἐπάγουσιν ἡμῖν τὸ
, καὶ μάλιστα δὴ τούτῳ τὸ φιλότιμον ἀμβλύνειν καὶ

OVIMUS te, mi Euphanes, Pindari, cu-
dator es, dictum illud
m probabiliter ac recte
atum in ore frequenter

ituto certamine
etextus aliquis virtutem
ltas tenebras dejecerit.

lo autem cunctatio et mollities a certaminibus nos avocans civilibus cum plurimas alias præscriptiones usurpant, tum ultimam hanc quasi a sacra, quod dicitur, linea adducunt senectutis excusationem, eaque cum primis honestos nostros conatus retundere atque deterrere nituntur, dum persuadere volunt quen-

δυσωπεῖν δοκοῦσαν, πείθουσιν εἶναί τινα πρέπουσαν οὐκ ἀθλητικῆς μόνον ἀλλὰ καὶ πολιτικῆς περιόδου κατάλυσιν· οἴομαι δεῖν ἃ πρὸς ἐμαυτὸν ἑκάστοτε λογίζομαι, καὶ πρὸς C σὲ διελθεῖν περὶ τῆς πρεσβυτικῆς πολιτείας· ὅπως μηδέτερος ἀπολείψει τὴν μακρὰν συνοδίαν μέχρι δεῦρο κοινῇ προερχομένην, μηδὲ τὸν πολιτικὸν βίον, ὥσπερ ἡλικιώτην καὶ συνήθη φίλον ἀποῤῥίψας, μεταβάληται πρὸς ἄλλον ἀσυνήθη, καὶ χρόνον οὐκ ἔχοντα συνήθη γενέσθαι καὶ οἰκεῖον· ἀλλ' ἐμμένωμεν οἷς ἀπ' ἀρχῆς προειλόμεθα, ταὐτὸ τοῦ ζῆν καὶ τοῦ καλῶς ζῆν ποιησάμενοι πέρας· εἴγε δὴ μὴ μέλλοιμεν ἐν βραχεῖ τῷ λειπομένῳ τὸν πολὺν ἐλέγχειν χρόνον, ὡς ἐπ' οὐδενὶ καλῷ μάτην ἀνηλωμένον. Οὐ γὰρ ἡ τυραννίς, ὥς τις εἶπε Διονυσίῳ, καλὸν ἐντάφιον· ἀλλ' ἐκείνῳ γε τὴν μοναρχίαν μετὰ τῆς ἀδικίας τό γε μὴ παύσασθαι, συμφορὰν τελεωτέραν ἐποίησε· καὶ καθὼς Διογένης ὕστερον ἐν Κορίνθῳ τὸν υἱὸν αὐτοῦ θεασάμενος ἰδιώτην ἐκ τυράννου γεγενημένον, "Ὡς ἀναξίως,

dam eſſe convenientem non āthletici tantum, ſed etiam civilis decurſus terminum atque concluſionem: quæ mecum identidem de ſenili reipublicæ adminiſtratione ratiocinor, ea tecum quoque mihi communicanda ſum arbitratus; ut neuter noſtrum quem hactenus una longum tenuimus curſum deſerat: neve civilem vitam, quaſi æqualem et conſuetudine nobis devinctum amicum, omittat, ad aliamque tranſeat inuſitatam, et cujus conſuetudini ac familiaritati parandæ tempus non ſuppetat: ſed in eo perſiſtamus quod a principio inſtitueramus, eundemque vivendi et honeſte vivendi finem faciamus: niſi velimus in exiguo quod ſupereſt vitæ ſpatio oſtendere, longam, quam exegimus, ætatem a nobis fuiſſe nulla præclara in re conſumtam. Non recte is, qui Dionyſio dixit, *tyrannidem pulchrum eſſe ſepulchrum*: ſed hæc illi tanto perfectiorem paravit miſeriam: et Diogenes melius, qui cum poſtea temporis filium ejus Corinthi videret privatum de tyranno factum: *Quam indig-*

, Διονύσιε, σεαυτοῦ περιάπτεις· οὐ γὰρ ἐνταῦθά σε μεθ' ῶν ἔδει ζῆν ἐλευθέρως καὶ ἀδεῶς, ἀλλ' ἐκεῖ τοῖς ραννείοις ἐγκατῳκοδομημένον, ὥσπερ ὁ πατὴρ, ἄχρι ως ἐγκαταβιῶσαι." Πολιτεία δὲ δημοκρατικὴ καὶ ος ἀνδρὸς εἰθισμένου παρέχειν αὐτὸν οὐχ ἧττον ἀρχό- ὠφελίμως ἢ ἄρχοντα, καλὸν ἐντάφιον, ὡς ἀληθῶς ι τοῦ βίου δόξαν τῷ θανάτῳ περιτίθησι· τοῦτο γὰρ

Ἔσχατον δύεται κατὰ γᾶς,

ισι Σιμωνίδης, πλὴν ὧν προαποθνήσκει τὸ φιλάν- ον καὶ φιλόκαλον, καὶ προαπαυδᾷ τῆς τῶν ἀναγκαίων μίας ὁ τῶν καλῶν ζῆλος, ὡς τὰ πρακτικὰ μέρη ια τῆς ψυχῆς ἐξιτηλότερα τῶν παθητικῶν καὶ σω- ῶν ἐχούσης· ὅπερ οὐδὲ λέγειν καλὸν, οὐδὲ ἀποδέ- ι τῶν λεγόντων, ὡς κερδαίνοντες μόνον οὐ κοπιῶμεν· καὶ τὸ τοῦ Θουκυδίδου παράγειν ἐπὶ τὸ βέλτιον, μὴ ότιμον ἀγήρω μόνον ἡγουμένους, ἀλλὰ μᾶλλον τὸ

λὴν ὧν—ἐχούσης· ὅπερ] Oratio turbata vitio librariorum: neque in codicibus quid melius nec apud Stob. p. 303. qui in compendium redegit. Ut nunc est, legam in fine ἐχούσαις. Διόπερ—.

iebat, *teipso vitam agis: im hic te libere ac tuto conveniebat, sed in parci tyrannicæ inclusum o patris tui consenescere.* publica popularis ac le- viro, qui ita eam gerit, n minus pareat utiliter imperet, pulchrum re rnamentum gloriam vi- partam morti ac funeri Ea enim, ut Simoni- it, *ultima subit terræ*: qui sunt quorum ante emoritur humanitatis honestatisque studium, priusque elanguescit pulchri æmulatio, quam necessariarum rerum appetitio: quorum animi facultatem ad agendum destinatam ac divinam corporea et affectibus obnoxia habent imbecilliorem. Neque vero nobis audiendi sunt, qui omnibus aliis rebus, *solo lucro faciendo nos non defatigari*, aiunt: sed et Thucydidis sententia in meliorem partem accipienda est: itaque statuendum, non modo *honoris stu-*

κοινωνικὸν καὶ πολιτικόν· ὃ καὶ μύρμηξιν ἄχρι τέλους παραμένει καὶ μελίτταις· οὐδεὶς γὰρ οἶδεν ὑπὸ γήρως κηφῆνα γενομένην μέλιτταν, ὥσπερ ἔνιοι τοὺς πολιτικοὺς ἀξιοῦσιν, ὅταν παρακμάσωσιν, οἴκοι σιτουμένους καθῆσθαι καὶ ἀποκεῖσθαι, καθάπερ ἰῷ σίδηρον, ὑπ' ἀργίας τὴν πρακτικὴν ἀρετὴν σβεννυμένην περιορῶντας. Ὁ γὰρ Κάτων ἔλεγεν, Ὅτι πολλὰς ἰδίας ἔχοντι τῷ γήρᾳ κῆρας οὐ δεῖ τὴν ἀπὸ τῆς κακίας ἑκόντας ἐπάγειν αἰσχύνην. Πολλῶν δὲ κακιῶν οὐδεμιᾶς ἧττον ἀπραξία καὶ δειλία καὶ μαλακία καταισχύνουσιν ἄνδρα πρεσβύτην, ἐκ πολιτικῶν ἀρχείων καταδυόμενον εἰς οἰκουρίαν γυναικῶν, ἢ κατ' ἀγρὸν ἐφορῶντα καλαμητρίας καὶ θεριστάς.

Ὁ δ' Οἰδίπους ποῦ καὶ τὰ κλεῖν' αἰνίγματα;

Τὸ μὲν γὰρ ἐν γήρᾳ πολιτείας ἄρχεσθαι, καὶ μὴ πρότερον, (ὥσπερ Ἐπιμενίδην λέγουσι κατακοιμηθέντα κα-

F. 4. οἶδεν] Rectius sit, εἶδεν cum Reisk.

dium non consenescere, sed multo minus communitatis atque reipublicæ, quod apes etiam et formicæ conservant usque ad finem. Nemo enim unquam vidit apem senectute in fucum degenerasse: quod a civilibus quidam viris exigunt, ut vigore ætatis prælapso domi desideant, cibumque conquirant et reponant, otioque patiantur virtutem agendi, tanquam rubigine ferrum, absumi. Cato quidem dicebat, *Senectutis, quæ ex sese multa haberet incommoda, non debere turpitudinem vitiis superaddi.* Atqui cum multa sint vitia, nullo minus est otium, ignavia, et mollities, quæ viro seni dedecus afferunt, e curia se in muliebrem domus curationem includenti, aut in agro messores et lectrices stipularum inspicienti:

Ast Oedipus ubi, nobiliaque ænigmata?

Etenim qui in senectute ad rempublicam se conferat, nunquam ante in ea versatus, (sicut Epimenidem dicunt, cum

ἐξέγρεσθαι γέροντα μετὰ πεντήκοντα ἔτη,) οὔτ' ο μακρὰν καὶ συμβεβηκυῖαν ἡσυχίαν ἀποθέμενον, εῖν ἑαυτὸν εἰς ἀγῶνας καὶ ἀσχολίας, ἀήθη καὶ ἀγύμ-ὄντα, καὶ μήτε πράγμασιν ἐνωμιληκότα πολιτι-μήτε ἀνθρώποις, ἴσως ἂν αἰτιωμένῳ τινὶ παράσχοι ; Πυθίας εἰπεῖν, " Ὀψέ μ' ἦλθες," ἀρχὴν καὶ ηγίαν διζήμενος, καὶ παρ' ὥραν στρατηγίου κόπτεις ὥσπερ τις ἀτεχνότερος ὢν νύκτωρ ἐπὶ κῶμος ἀφιγ-ἢ ξένος, οὐ τόπον οὐδὲ χώραν, ἀλλὰ βίον, οὗ μὴ ρασαι, μεταλλάττων. Τὸ γάρ,

——Πόλις ἄνδρα διδάσκει,

ιμωνίδην, ἀληθές ἐστιν ἐπὶ τῶν ἔτι χρόνον ἐχόντων ιδαχθῆναι καὶ μεταμαθεῖν μάθημα, διὰ πολλῶν καὶ πραγμάτων μόλις ἐκπονούμενον, ἄνπερ ἐν φύσεως ἐπιλάβηται καὶ πόνον ἐνεγκεῖν καὶ δυσημε-

τ' ἂν—συμβεβηκυῖαν] Prius delendum cum Mez. ut ortum ex ὄντα, quod refertur ad antecedens ὥσπερ. Alterum mutem in συντετηκυῖαν. Reisk. συμβεβιωκυῖαν.

χνότερος ὢν] Forte, ἀγροικότερος ὢν, vel ἀτεχνῶς γέρων.

ns obdormivisset, post iginta annos evigilasse em) et tam longinquo ue aucto otio relicto, mina se et occupatio-jiciat insuetum atque itatum, et neque in re-ibus, neque inter ho-versatum, reprehensu-uis Pythiæ illud obji-sit, *Sero ad me venisti*, atum et populi guber-m quærens: intem-pulsas prætorii ja-nuam, velut inscitior aliquis noctu per comessationem ac-cedens aut hospes, non locum aut regionem mutare, sed vi-tam cujus es imperitus, inire cupiens. Quod enim Simo-nides dixit, *Civitas virum do-cet*, verum est de his, quibus adhuc tempus est dediscendi sua, et addiscendi scientiam, quæ multis certaminibus at-que rebus ægre elaboratur, ubi tempestive ingenium ap-prehendit, quod labores diffi-

ῥίαν εὐκόλως διαμενούσης. Ταῦτα δόξει τις μὴ κακῶς λέγεσθαι πρὸς τὸν ἀρχόμενον ἐν γήρᾳ πολιτείας.

τοῖς ὑπηκόοις, ἀγεννέστατον ἐν φόβοις, ἀγριώτατον ἐν ὀρ-

C. 4. κατανοεῖν] Abest a Schott. et P. credo factum ex κατὰ νοῦν, glossema vocis εὐάρμοστον.

tat, ingeniumque ejus fingit: ita qui ad Rempublicam se contulit, is donec gloria sua fideque vim sibi ad ducendos populi animos sufficientem conciliet, interim se eorum quos subjectos habet moribus accommodare, eosque sibi ad sequendum propositos habere debet, gnarus eorum quibus ii gaudent, quibusque duci assolent. Verbi gratia: Athenienses ad iram facile provocantur, et ad misericordiam non magno negotio traducuntur, maluntque celeriter suspicari quippiam, quam per otium de re doceri: utque promtius obscuris et humilibus viris subveniunt, ita sermonis jocosum et facetum genus maxime amplectuntur: laudari se apprime gaudent, æquissimo animo salse in ipsos dicta ferunt: metuendi ipsis etiam magistratibus, ne hostem quidem sua humanitate dedignantur. Diversum Carthaginiensis populi ingenium, morosum, tetricum, magistratibus obsequens, subditis grave, abjectissimum dum metuit, se-

γαῖς, ἐπίμονον τοῖς γνωσθεῖσι, πρὸς παιδιὰν καὶ χάριν ἀνήδυντον καὶ σκληρόν· οὐκ ἂν οὗτοι, Κλέωνος ἀξιοῦντος αὐτοὺς, ἐπεὶ τέθυκε καὶ ξένους ἑστιᾶν μέλλει, τὴν ἐκκλησίαν ὑπερθέσθαι, γελάσαντες ἂν καὶ κροτήσαντες ἀνέστησαν· οὐκ Ἀλκιβιάδῃ, ὄρτυγος ἐν τῷ λέγειν διαφυγόντος ἐκ τοῦ ἱματίου, φιλοτίμως συνθηρεύσαντες ἀπέδωκαν· ἀλλὰ καὶ ἀπέκτειναν ἄν, ὡς ὑβρίζοντας καὶ τρυφῶντας· ὅπου
E καὶ Ἄννωνα λέοντι χρώμενον σκευοφόρῳ παρὰ τὰς στρατείας, αἰτιασάμενοι τυραννικὰ φρονεῖν, ἐξήλασαν. Οἶμαι δ' ἂν ἔγωγε μηδὲ Θηβαίους ἀποσχέσθαι γραμμάτων πολεμίων κυρίους γενομένους, ὡς Ἀθηναῖοι Φιλίππου γραμματοφόρους λαβόντες ἐπιστολὴν ἐπιγεγραμμένην Ὀλυμπιάδι κομίζοντας, οὐκ ἔλυσαν οὐδὲ ἀπεκάλυψαν ἀπόρρητον ἀνδρὸς ἀποδήμου πρὸς γυναῖκα φιλοφροσύνην· οὐδέ γε αὖ πάλιν Ἀθηναίους Ἐπαμεινώνδου πρὸς τὴν κατηγορίαν ἀπολογεῖσθαι μὴ θέλοντος, ἀλλ' ἀναστάντος ἐκ τοῦ θεά-
F τρου, καὶ διὰ τῆς ἐκκλησίας εἰς τὸ γυμνάσιον ἀπιόντος,

vissimum ubi irascitur, perstans in decretis, durum adversus jocos et blanditias: non illi, Cleone concionem differri petente, quod sacrificasset ipse et excepturus convivio esset hospites, risu sublato datoque plausu concionem solvissent: neque coturnicem, quæ Alcibiade concionante e veste ejus avolarat, certatim venati reddidissent: quinimo eos interfecissent ut lascivientes et insultantes: quando Annoni exilium ii indixerunt, affectari ab eo tyrannidem caussati, quod militiæ impedimentorum bajulo uteretur leone. Neque vero, nisi fallor, Thebani ab hostilium literarum, si quæ in eorum pervenissent manus, lectione abstinuissent: cum Athenienses captis Philippi tabellariis epistolam Olympiadi inscriptam ferentibus, non solverint eam, neque patefecerint mariti peregre absentis uxori missam salutationem. Neque vicissim Athenienses fastum Epaminondæ æquo animo tolerassent, cum is crimine oblato caussam dicere nolens e theatro discessit, ac per mediam concionem in

εὐκόλως ἐνεγκεῖν τὴν ὑπεροψίαν καὶ τὸ φρόνημα τοῦ ἀνδρός· πολλοῦ δ' ἂν ἔτι καὶ Σπαρτιάτας δεῆσαι τὴν Στρατοκλέους ὕβριν ὑπομεῖναι καὶ βωμολοχίαν πείσαντος μὲν αὐτοὺς εὐαγγέλια θύειν ὡς νενικηκότας, ἐπεὶ δὲ τῆς ἥττης ἀληθῶς ἀπαγγελθείσης ἠγανάκτουν ἐρωτῶντος τὸν δῆμον τί ἠδίκηται, τρεῖς ἡμέρας δι' αὐτὸν ἡδέως γεγονώς. Οἱ μὲν οὖν αὐλικοὶ κόλακες, ὥσπερ ὀρνιθοθῆραι, μιμούμενοι τῇ φωνῇ καὶ συνεξομοιοῦντες ἑαυτοὺς ὑποδύονται μάλιστα καὶ προσάγουσι δι' ἀπάτης τοῖς βασιλεῦσι· τῷ δὲ πολιτικῷ μιμεῖσθαι μὲν οὐ προσήκει τοῦ δήμου τὸν τρόπον, ἐπίστασθαι δὲ καὶ χρῆσθαι πρὸς ἕκαστον οἷς ἁλώσιμός ἐστιν· ἡ γὰρ ἄγνοια τῶν ἠθῶν ἀστοχίας φέρει καὶ διαπτώσεις οὐχ ἥττονας ἐν ταῖς Πολιτείαις ἢ ταῖς φιλίαις τῶν βασιλέων.

δ'. Τὸ μὲν οὖν τῶν πολιτῶν ἦθος ἰσχύοντα δεῖ καὶ πιστευόμενον ἤδη πειρᾶσθαι ῥυθμίζειν ἀτρέμα πρὸς τὸ βέλτιον ὑπάγοντα καὶ πρᾴως μεταχειριζόμενον· ἐργώδης γὰρ ἡ μετάθεσις τῶν πολλῶν· αὐτὸς δ' ὥσπερ ἐν

gymnasium abiit. Nullo vero pacto arbitror Spartanos toleraturos fuisse Stratoclis scurrilem insultationem, qui Atheniensibus ut ob lætum partæ victoriæ nuncium acceptum sacrificarent persuasit: cumque ii de accepta clade vero allato nuntio succenserent, populum interrogavit, *ecquid injuriæ passi essent, qui ipsius opera triduum suavius vixissent.* Enimvero adulatores aulici aucupum more vocem suam ad imitationem regum componunt, itaque eos subeunt et decipiunt: Rempublicam autem gerenti non convenit mores populi imitari, nosse eos eaque se iis ratione accommodare, qua capi singulos posse cernit, operæ est. Morum enim ignoratio non minus impedit irritaque facit consilia in civilibus negotiis quam in amicitiis regum.

IV. Ergo civium mores potentia jam ac fide instructus formare conaberis, sensim eos ad meliora subducens, ac placide tractans: operosa enim est multitudinis mutatio. Ipse

λοιπὸν ἀναπεπταμένῳ βιωσόμενος, ἐξάσκει καὶ
μει τὸν τρόπον· εἰ δὲ μὴ ῥᾴδιον ἀπαλλάξαι παν-
ῆς ψυχῆς τὴν κακίαν, ὅσα γοῦν ἐπανθεῖ μάλιστα
απίπτει τῶν ἁμαρτημάτων, ἀφαιρῶν καὶ κολούων.
γὰρ ὅτι Θεμιστοκλῆς ἅπτεσθαι τῆς πολιτείας δια-
, ἀπέστησε τῶν πότων καὶ τῶν κώμων ἑαυτὸν,
ιν δὲ καὶ νήφων καὶ πεφροντικὼς λέγει πρὸς τοὺς
ὡς οὐκ ἐᾷ καθεύδειν αὐτὸν τὸ Μιλτιάδου τρό-
Περικλῆς δὲ καὶ περὶ τὸ σῶμα καὶ τὴν δίαιταν
ξεν ἑαυτὸν ἠρέμα βαδίζειν, καὶ πράως διαλέ-
καὶ τὸ πρόσωπον ἀεὶ συνεστηκὸς ἐπιδείκνυσθαι, καὶ τὴν
συνέχειν ἐντὸς τῆς περιβολῆς, καὶ μίαν ὁδὸν πο-
τὴν ἐπὶ τὸ βῆμα καὶ τὸ βουλευτήριον. Οὐ γὰρ εὐ-
ιστον οὐδὲ ῥᾴδιον ἁλῶναι τὴν σωτήριον ἅλωσιν
οῦ τυχόντος ὄχλον, ἀλλ' ἀγαπητὸν εἰ μήτε ὄψει
ινῇ πτυρόμενος, ὥσπερ θηρίον ὕποπτον, καὶ ποικί-

ων] Revocavi ex Ald. Baf. Xyl. A. E. P. Mez. Vulgo, ὄχλου.

ut deinceps in aperto theatro, mores tuos : atque orna: quod si ile sit omnia arcere itia, ea tamen amolire nue, quæ maxime in ıc conspectu sunt. Au- Themistoclem, cum ad gerendam rem- ı appulisset, a pota- se et comessationibus ſſe, vigilantemque jam um ac seriis deditum xisse ad amicos, *tro- Miltiadis sibi somnum adimere:* et Periclem corporis quoque gestum ac vitæ rationem mutasse, ut et incederet tardius, et placide colloqueretur, vultumque semper constantem gereret, et manum intra amiculum contineret, unamque eam viam, qua ad tribunal et curiam itur, tereret. Non enim ita tractabilis est multitudo, ut cujusvis sit, salutare ei frænum injicere: immo in aliqua felicitatis parte ponendum, si ut est bellua suspiciosa et inconstans, nullo

λον, ἐνδέχοιτο τὴν ἐπιστασίαν. Οὐ τοίνυν οὐδὲ τούτων ἐπιμελητέον ἐστὶ παρέργως, ἧπου τῶν περὶ τὸν βίον καὶ τὸ ἦθος ἀμελητέον, ὅπως ᾖ ψόγου καθαρὰ καὶ διαβολῆς ἁπάσης. Οὐ γὰρ ὧν λέγουσιν ἐν κοινῷ καὶ πράττουσιν οἱ πολιτευόμενοι μόνον εὐθύνας διδόασιν, ἀλλὰ καὶ δεῖπνον αὐτῶν πολυπραγμονεῖται, καὶ κοίτη, καὶ γάμος, καὶ παιδιὰ, καὶ σπουδὴ πᾶσα. Τί γὰρ δεῖ λέγειν Ἀλκιβιάδην, ὃν περὶ τὰ κοινὰ πάντων ἐνεργέστατον ὄντα καὶ στρατηγὸν ἀήττητον, ἀπώλεσεν ἡ περὶ τὴν δίαιταν ἀναγωγία καὶ θρασύτης, καὶ τῶν ἄλλων ἀγαθῶν αὐτοῦ τὴν πόλιν ἀνόνητον ἐποίησε διὰ τὴν πολυτέλειαν καὶ τὴν ἀκολασίαν; ὅπου καὶ Κίμωνος οὗτοι τὸν οἶνον, καὶ Ῥωμαῖοι Σκηπίωνος, οὐδὲν ἄλλο ἔχοντες λέγειν, τὸν ὕπνον ᾐτιῶντο, Πομπήϊον δὲ Μάγνον ἐλοιδόρουν οἱ ἐχθροὶ παραφυλάξαντες ἑνὶ δακτύλῳ τὴν κεφαλὴν κνώμενον. Ὡς γὰρ ἐν τῷ προσώπῳ

C. 9. Οὐ τοίνυν—ἧπου] Forte, Εἰ τοίνυν—ἧπου. B. habet ὡς pro Οὐ.

visu audituve consternata rectorem admittat. Quod si ne hæc quidem negligenter observanda sunt, quanto magis vitæ morumque ratio habenda erit, ut omnis sint reprehensionis et criminis expertes. Non enim qui Rempublicam gerunt, iis tantum de publice dictis factisque ratio est reddenda: sed et in cœnam eorum inquiritur, et cubile, et matrimonium, et quidquid serii jocive agunt. Quid enim attinet Alcibiadem dicere? qui cum in Republica gerenda esset summa præditus efficacitate, et imperator invictus, vitæ ratione effræni atque ferocia sua periit, et ut nihil ex reliquis quæ in eo erant bonis utilitatis percipere posset civitas, luxuria ejus atque prodigalitas fecerunt: cum et vinum Cimonis Athenienses, et somnum, quia aliud nihil inveniebant, Scipionis Romani culpaverint: et Pompeio Magno inimici vitio verterint, quod caput uno digito scaberet. Sicut enim in facie lens et verruca molestiores sunt

φακοὶ καὶ ἀκροχορδόνες διαφαίνονται μᾶλλον, ἢ στίγματα καὶ κολοβότητες καὶ οὐλαὶ τοῦ λοιποῦ σώματος, οὕτω τὰ μικρὰ φαίνεται μεγάλα τῶν ἁμαρτημάτων, ἐν ἡγεμονικοῖς καὶ πολιτικοῖς ὁρώμενα βίοις, διὰ δόξαν ἣν οἱ πολλοὶ περὶ ἀρχῆς καὶ πολιτείας ἔχουσιν, ὡς πράγματος μεγάλου καὶ καθαρεύειν ἀξίου πάσης ἀτοπίας καὶ πλημμελείας. Εἰκότως οὖν Λίβιος Δροῦσος ὁ δημαγωγὸς εὐδοκίμησεν, ὅτι τῆς οἰκίας αὐτοῦ πολλὰ μέρη κάτοπτα τοῖς γειτνιῶσιν ἐχούσης καὶ τῶν τεχνιτῶν τινος ὑπισχνουμένου ταῦτα ἀποστρέψειν καὶ μεταθήσειν ἀπὸ πέντε μόνων ταλάντων, « Δέκα, » ἔφη, « λαβὼν, ὅλην μου ποίησον τὴν οἰκίαν καταφανῆ, ἵνα πάντες ὁρῶσιν οἱ πολῖται πῶς διαιτῶμαι » καὶ γὰρ ἦν ἀνὴρ σώφρων καὶ κόσμιος. Ἴσως δὲ ταύτης οὐδὲν ἔδει τῆς καταφανείας αὐτῷ· διορῶσι γὰρ οἱ πολλοὶ καὶ τὰ πάνυ βαθέως περιαμπέχεσθαι δοκοῦντα τῶν πολιτευομένων ἤθη καὶ βουλεύματα, καὶ πράξεις καὶ

F. 1. Λίβιος] Sic Mss. Vulgo, Ἰούλιος. Xyl. Λίβιος.

quam reliquae corporis maculae, mutilationes, et cicatrices: sic exigua peccata, ubi in principis cernuntur vita, pro magnis habentur, propter opinionem eam, quam vulgo de principatu et Republica gerunt, rem eam esse magnam, et quae vacare debeat omni errore atque vitio. Idcirco non injuria celebri est laude Livius Drusus tribunus plebis, qui cum domus ipsius multae partes vicinis essent perspicuae, ac faber quidam polliceretur se eas impendio quinque modo talentorum aversurum et mutaturum, *Immo*, ait, *decem abs me aufer talenta lege hac, ut totam demum meam reddas omnium inspectui patentem, quo universi cives cernere possint, qua utar vitae degendae ratione.* Erat enim vir temperans et modestus. Ac nihil quidem fortassis opus ei erat hac perspicuitate. Plerique enim mores et consilia, actionesque et vitae rationem Rempublicam gerentium, quae

βίους· οὐχ ἧττον ἀπὸ τῶν ἰδίων ἢ τῶν δημοσίων ἐπιτηδευμάτων, τοὺς μὲν φιλοῦντες καὶ θαυμάζοντες, τοὺς δὲ δυσχεραίνοντες καὶ καταφρονοῦντες. Τί οὖν δή; οὐχὶ καὶ τοῖς ἀσελγῶς καὶ τεθρυμμένως ζῶσιν αἱ πόλεις χρῶνται; Καὶ γὰρ αἱ κιττῶσαι λίθους, καὶ οἱ ναυτιῶντες ἁλμυρίδας καὶ τοιαῦτα βρώματα διώκουσι πολλάκις, εἶτα ὀλίγον ὕστερον ἐξέπτυσαν καὶ ἀπεστράφησαν· οὕτω δὴ καὶ οἱ δῆμοι διὰ τρυφὴν καὶ ὕβριν ἢ βελτιόνων ἀπορίᾳ δημαγωγῶν, χρῶνται τοῖς ἐπιτυχοῦσι, βδελυττόμενοι καὶ καταφρονοῦντες, εἶτα χαίρουσι τοιούτων εἰς αὐτοὺς λεγομένων οἷα Πλάτων ὁ κωμικὸς τὸν δῆμον αὐτὸν λέγοντα ποιεῖ,

Λαβοῦ, λαβοῦ τῆς χειρὸς ὡς τάχιστά μου,
Μέλλω στρατηγὸν χειροτονεῖν Ἀγύρριον·

καὶ πάλιν αἰτοῦντα λεκάνην καὶ πτερὸν, ὅπως ἐμέσῃ, λέγοντα,

Προσίσταταί μου πρὸς τὸ βῆμα μαντίλη·

καὶ,

Βόσκει δυσώδη κεφαλὴν αἰσχίστην νόσον.

B. 9. δυσώδη κεφαλὴν] Mez. δυσώδη κραιπάλην. Forte rectius sit δυσώδης κεφάλων.

vel maxime abdita putantur, perſpiciunt: neque minus ob privata quam ob publica ſtudia alios amant et admirantur, alios oderunt atque deſpiciunt. Quid ergo? inquies, non etiam iis, quorum impudica eſt et mollis vita, civitates utuntur? Sane: quomodo gravidæ cum pica vexantur lapides, et qui nauſeant ſalſuginem aliosque id genus cibos appetunt ſæpenumero, paulo poſt exſputuri et averſaturi. Sic enim et populi ob luxuriam aut petulantiam, vel inopia meliorum ductorum, quibuſcunque oblatis utuntur, abominantes eos et contemnentes, deinde gratum ipſis eſt, cum in iſtos talia dicuntur, qualia Plato comicus ipſum populum dicere fingit,

Manu prebende me, prebende celeriter,
Qui principem jam deſignabo Agyrrium.

rurſumque pelvim poſcentem et pennam ut vomat, ac dicentem,

Hic ad tribunal mantile adſiſtit mihi.

et,

Alit caput fœtens luem turpiſſimam.

δὲ Ῥωμαίων δῆμος, ὑποσχομένου τι Κάρβωνος, καὶ ιθέντος ὅρκον δή τινα καὶ ἀρὰν, ἀντώμοσεν ὁμοῦ μὴ ύειν. Ἐν δὲ Λακεδαίμονι τινὸς Δημοσθένους, ἀνδρὸς λάστου, γνώμην εἰπόντος ἁρμόζουσαν, ἀπέρριψεν ὁ ος, οἱ δὲ Ἔφοροι κληρώσαντες ἕνα τῶν γερόντων, ἐκέ- σαν εἰπεῖν τὸν αὐτὸν λόγον ἐκεῖνον, ὥσπερ εἰς καθαρὸν γεῖον ἐκ ῥυπαροῦ μετακεράσαντες, ὅπως εὐπρόσ- τος γένηται τοῖς πολλοῖς. Οὕτω μεγάλην ἔχει ῥοπὴν Πολιτείᾳ πίστις ἤθους, καὶ τοὐναντίον.

Ε'. Οὐ μὴν ἀμελητέον γε διὰ τοῦτο τῆς περὶ τὸν ν χάριτος καὶ δυνάμεως, ἐν ἀρετῇ θεμένους τὸ σύμ- , ἀλλὰ τὴν ῥητορικὴν νομίσαντες μὴ δημιουργὸν, ἀλλά συνεργὸν εἶναι πειθοῦς, ἐπανορθωτέον τὸ τοῦ Μενάνδρου,

Τρόπος ἔσθ' ὁ πείθων τοῦ λέγοντος, οὐ λόγος·

γὰρ ὁ τρόπος καὶ ὁ λόγος· εἰ μὴ, νὴ Δία, φήσει τις τὸν κυβερνήτην ἄγειν τὸ πλοῖον, οὐ τὸ πηδάλιον, καὶ

ἀλλά τι] B. Xyl. ἀλλά τινι. Neutrum placet: vel delendum τι vel in τινὰ mutandum cum Reisk. Modo Mez. corrigit νομίσαντας, probabiliter.

populus Romanus Car- aliquid promittente, ac ante dirasque devotiones nte, contra uno ore jura- e non crediturum. Spartæ Demosthenes quidam ho- intemperans sententiam modam dixisset, eam po- s rejecit: Ephori autem lecto cuidam senum eam ndam dederunt, tanquam sordido vase in sincerum diffundentes, ut grata fie- nultitudini. Tantum in mque partem in Republica momenti habet persuasio de ingenio hominis concepta.

V. Neque tamen propterea ita negligenda est orationis elegantia ac facultas, ut omnia virtuti adscribantur: sed ut non opificem persuasionis censeamus esse rhetoricam, adjutricem tamen censeamus, corrigamusque illud Menandri,

Mores movent dicentis, haud oratio.

Etenim et mores persuadent, et oratio: nisi quis ita intelligat, sicut navem agit non clavus sed gubernator, equesque

τὸν ἱππέα στρέφειν τὸν ἵππον, οὐ τὸν χαλινόν, οὕτως πό- D
λιν πείθειν, οὐ λόγῳ ἀλλὰ τρόπῳ χρωμένην, ὥσπερ οἴακι καὶ χαλινῷ, τὴν πολιτικὴν ἀρετήν, ὅπερ εὐστροφώτατον ζῶον, ὥς φησι Πλάτων, οἷον ἐκ πρύμνης ἀποτεμνομένην καὶ κατευθύνουσαν. Ὅπου γὰρ οἱ μεγάλοι βασιλεῖς ἐκεῖνοι καὶ διογενεῖς, ὡς Ὅμηρός φησιν, ἁλουργίσι καὶ σκήπτροις καὶ δορυφόροις καὶ θεῶν χρησμοῖς ἐξογκοῦσιν αὑτούς, καὶ δουλούμενοι τῇ σεμνότητι τοὺς πολλοὺς ὡς κρείττονες, ὅμως ἐβούλοντο μύθων τε ῥητῆρες ἔμεναι, καὶ οὐκ ἠμέλουν τῆς τοῦ λέγειν χάριτος,

> Οὐδ' ἀγορέων ἵνα τ' ἄνδρες ἀριπρεπέες τελέθουσιν,

οὐδὲ Διὸς Βουλαίου μόνου ἔχρῃζον, οὐδ' Ἄρεος Ἐνυαλίου E
καὶ Στρατίας Ἀθηνᾶς, ἀλλὰ καὶ τὴν Καλλιόπην παρεκάλουν, ἣ

> —— ἣ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ,

πραΰνουσα πειθοῖ καὶ καταιδοῦσα τῶν δήμων τὸ αὔθαδες

E. 5. καταιδοῦσα] Forte, κατᾴδουσα, vel κατῄδουσα.

equum verſat, non frænum: ita a civili virtute urbem duci non oratione, ſed moribus loco fræni aut gubernaculi adhibitis, eamque veluti a prora dirigere urbem, animal, ut Plato ait, maxime verſatile. At vero magni illi reges, et *a Jove*, ut Homerus ait, *prognati*, purpuris, ſceptris, ſtipatoribus, deorumque oraculis ſeipſos extollentes, ubi majeſtate ſua tanquam præſtantioris ipſi naturæ vulgus ſibi ſubjecerunt, voluerunt tamen oratores eſſe, neque dicendi elegantiam neglexerunt, ſed curæ fuit eis

> *Concio, qua decus eximium facundia gignit:*

neque ſolum Jovem Conſiliarium, Martemve Homicidam, et Militarem Minervam coluerunt, ſed et Calliopem invocaverunt,

> *Quæ comes uſque ſolet venerandis regibus eſſe,*

facundia ſua demulcens et ad verecundiam redigens contu-

καὶ βίαιον· ἢ πῶς δυνατὸν ἄνθρωπον ἰδιώτην ἐξ ἱματίου καὶ σχήματος δημοτικοῦ πόλιν ἄγειν βουλόμενον, ἐξισχῦσαι καὶ κρατῆσαι τῶν πολλῶν, εἰ μὴ λόγον ἔχει συμπείθοντα καὶ προσαγόμενον; Οἱ μὲν οὖν τὰ πλοῖα κυβερνῶντες, ἑτέροις χρῶνται κελευσταῖς· ὁ δὲ πολιτικὸς ἐν ἑαυτῷ μὲν ὀφείλει τὸν κυβερνῶντα νοῦν ἔχειν, ἐν ἑαυτῷ δὲ τὸν ἐγκελευόμενον λόγον, ὅπως μὴ δέηται φωνῆς ἀλλοτρίας, μηδ' ὥσπερ Ἰφικράτης, ὑπὸ τῶν περὶ Ἀριστοφῶντα καταρρητορευόμενος, λέγῃ, « Βελτίων μὲν ὁ τῶν ἀντιδίκων « ὑποκριτής, δρᾶμα δὲ τοὐμὸν ἄμεινον," μηδὲ πολλάκις δέηται τῶν Εὐριπιδείων ἐκείνων,

Εἴθ' ἦν ἄφωνον σπέρμα δυστήνων βροτῶν.

καὶ,

Φεῦ, φεῦ, τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν
Φωνήν, ἵν' ἦσαν μηδὲν οἱ δεινοὶ λέγειν.

L. 6. δυνατὸν] Revocavi ex B. P. Ald. Baſ. Xyl. Mez. flagitante uſu formulæ. Vulgo, ἀδύνατον, quod Steph. habuit ex Schott. Leonic. Anon.

maciam violentiamque populi. Quod cum ita ſit, quonam pacto privatus aliquis a toga et habitu plebeio ad regendam urbem ſe conferens multitudinem in ſua poteſtate habere queat, niſi oratione inſtructus in perſuadendo et alliciendo adminiſtra? Qui naves gubernant, ii quidem munus remigum regendorum aliis mandant: at Rempublicam qui gerit, non gubernatrice modo mente præditus eſſe, ſed in ſeipſo habere debet facultatem orationis, qua imperia tradat, ne aliena opus habeat voce, neve id ei uſu veniat quod Iphicrati, qui cum Ariſtophon eum oratione premeret, *adverſarium hiſtrionem meliorem, ſuam autem cauſſam potiorem eſſe*, dixit: neve ſæpius uti cogatur Euripideis iſtis,

Utinam eſſet expers vocis humanum genus.

et,

Cur non, malum, data vox rebus mortalium eſt,
Nullo diſerti ut eſſent in pretio viri?

Ταῦτα μὲν γὰρ ἴσως Ἀλκαμένει, καὶ Νησιώτῃ, καὶ Ἰκτίνῳ, καὶ πᾶσι τοῖς βαναύσοις καὶ χειρώναξι τὸ δύνασθαι λέγειν ἀπομνυμένοις, δοτέον ἀποδιδράσκειν· ὥσπερ Ἀθήνησιν ἀρχιτεκτόνων ποτὲ δυεῖν ἐξεταζομένων πρὸς δημόσιον ἔργον, ὁ μὲν αἱμύλος καὶ κομψὸς εἰπεῖν, λόγον τινὰ διελθὼν περὶ τῆς κατασκευῆς μεμελετημένον, ἐκίνησε τὸν δῆμον· ὁ δὲ βελτίων τῇ τέχνῃ, λέγειν δὲ ἀδύνατος, παρελθὼν εἰς μέσον, B "Ἄνδρες," εἶπεν, "Ἀθηναῖοι, ὡς οὗτος εἴρηκεν, ἐγὼ "ποιήσω." Τὴν γὰρ Ἐργάνην οὗτοι μόνον θεραπεύουσιν, ὥς φησι Σοφοκλῆς, οἱ παρ' ἄκμονι τυπάδι βαρείᾳ καὶ πληγαῖς ὑπακούουσαν ὕλην ἄψυχον δημιουργοῦντες. Ὁ δὲ τῆς Πολιάδος Ἀθηνᾶς καὶ τῆς Βουλαίας Θέμιδος,

Ἥτ' ἀνδρῶν ἀγορὰς ἠμὲν λύει ἠδὲ καθίζει,

προφήτης, ἑνὶ χρώμενος ὀργάνῳ τῷ λόγῳ, τὰ μὲν πλάττων καὶ συναρμόττων, τὰ δὲ ἀντιστατοῦντα πρὸς τὸ ἔργον,

A. 5. Νησιώτῃ] Mez. Νησοκλεῖ ex Plin. XXXIV, 8. Certe est nomen proprium: id saltem in Latinis expressi.
A. 5. Ἰκτίνῳ] Sic B. Jannot. Xyl. Vulgo, Ἰκτίῳ.

Hæc enim fortassis Alcameni, Nesiotæ, Ictino, aliisque illiberalibus et manu victum quærentibus, facundiamque ejurantibus concedantur effugia: cujus generis est quod Athenis aliquando contigit, cum duo architecti de conducendo publico opere contenderent, alter disserendi copia et elegantia instructus, cum de apparatu operis oratione usus meditata populum movisset, alter arte præstantior, sed dicendi ignarus, in medium progressus, *Viri*, inquit, *Athenienses*, *quemadmodum iste dixit*, *ego efficiam*. Nam Erganam, id est, opificem, hi tantum colunt Minervam, ut ait Sophocles, qui *ad incudem gravi malleo* et ictibus obedientem materiam inanimam fabricantur. At Minervæ, quæ quod urbibus præsit Polias dicitur, et Consiliariæ Themidis, cui a jure nomen, et quæ

Conventus hominum cogitque eademque resolvit,

interpres, unico utens orationis instrumento, atque alia fingens et concinnans, alia

ους τινὰς ἐν ξύλῳ, καὶ διπλόας ἐν σιδήρῳ, μα-
, καταλεαίνων, κοσμεῖ τὴν πόλιν. Διὰ τοῦτο
ερικλέα Πολιτεία λόγῳ μὲν, ὥς φησι Θουκυδί-
οκρατία, ἔργῳ δὲ ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχὴ
υ τοῦ λόγου δύναμιν. Ἐπεὶ καὶ Κίμων ἀγαθὸς
φιάλτης, καὶ Θουκυδίδης· ἀλλὰ ἐρωτηθεὶς οὗτος
χιδάμου βασιλέως τῶν Σπαρτιατῶν, πότερον αὐτὸς
λῆς παλαίει βέλτιον, "Οὐκ ἂν εἰδείη τις," εἶπεν,
γὰρ ἐγὼ καταβάλω παλαίων, ἐκεῖνος λέγων μὴ
πεσεῖν, νικᾷ καὶ πείθει τοὺς θεωμένους." Τοῦτο δὲ
ῷ μόνῳ ἐκείνῳ δόξαν, ἀλλὰ καὶ τῇ πόλει σωτη-
ρε· πειθομένη γὰρ αὐτῷ τὴν ὑπάρχουσαν εὐ-
ν ἔσωζε, τῶν δὲ ἐκτὸς ἀπείχετο. Νικίας δὲ τὴν
προαίρεσιν ἔχων, πειθοῦς δὲ τοιαύτης ἐνδεὴς ὤν,
ὥσπερ ἀμβλεῖ χαλινῷ τῷ λόγῳ πειρώμενος ἀπο-
δῆμον, οὐ κατέσχεν οὐδὲ ἐκράτησεν, ἀλλ' ᾤχετο

C. 1. λόγῳ μὲν] Addendum, ἦν.

ri impedimento sunt, los quosdam in ligno, essus in ferro, molque lævigans, urbem Itaque administratio icæ, qua usus fuit Peverbo quidem, teste ide, populi fuit, reipsa rincipis viri potestas. Cimon bonus erat, et s, et Thucydides: veerrogatus hic ab Ar Spartæ rege, ipsene les melius luctaretur: *n est*, respondit, *cum enim ego eum dejicio, negando se cecidisse vincit, idque spectatoribus persuadet.* Atque ea quidem res non gloriam tantum Pericli, sed et urbi salutem attulit: dum enim ei paruit, felicitatem jam partam servavit, abstinuitque ab exteris negotiis. Sed Nicias cum idem sequeretur propositum, neque tantum haberet ad persuadendum virium, atque oratione veluti fræno laxo uteretur in dehortando populum, non obtinuit neque per-

βίᾳ φερόμενος εἰς Σικελίαν καὶ συνεκτραχηλιζόμενος. Τὸν μὲν οὖν λύκον οὔ φασι τῶν ὤτων κρατεῖν· δῆμον δὲ καὶ πόλιν ἐκ τῶν ὤτων ἄγειν δεῖ μάλιστα, μὴ, καθάπερ ἔνιοι τῶν ἀγυμνάστων περὶ λόγον λαβὰς ἀμούσους καὶ ἀτέχνους ζητοῦντες ἐν τοῖς πολλοῖς, τῆς γαστρὸς ἕλκουσιν εὐωχοῦντες, ἢ τοῦ βαλαντίου διδόντες, ἢ πυρρίχας τινὰς ἢ μονομάχων θεάματα παρασκευάζοντες ἀεὶ δημαγωγοῦσι, μᾶλλον δὲ δημοκοποῦσι. Δημαγωγία γὰρ ἡ διὰ λόγου πειθομένων ἐστίν· αἱ δὲ τοιαῦται τιθασεύσεις τῶν ὄχλων, οὐδὲν ἀλόγων ζώων ἄγρας καὶ βουκολήσεως διαφέρουσι.

ϛʹ. Ὁ μέντοι λόγος ἔστω τοῦ πολιτικοῦ μήτε νεαρὸς καὶ θεατρικὸς, ὥσπερ πανηγυρίζοντος καὶ στεφανηπλοκοῦντος ἐξ ἁπαλῶν καὶ ἀνθηρῶν ὀνομάτων· μήτε αὖ πάλιν, ὡς ὁ Πυθέας τὸν Δημοσθένους ἔλεγεν ἐλλυχνίων ὄζειν, καὶ σοφισ-

E. 7. ὄζειν] Recte Mez. et Reisk. ὄζων, proxima enim non sunt pars dicterii Pytheae: itaque saltem distinxi.

vicit: sed in Siciliam abiit vi actus, et obtorto quasi collo multitudinis impetu eo abreptus. Lupum quidem auribus teneri posse negant. Populum autem et civitatem vel maxime auribus ducere oportet: neque sequi eos, qui exercitatione dicendi destituti, multitudinis ducendae ansas quaerunt elegantiae artisque vacuas, et aut ventre trahunt epulis praebendis, vel marsupio largientes, aut saltationes aut gladiatorum spectacula crebra exhibentes populi favorem captant, aut potius vim ei afferunt. Captant enim favorem populi, eumque ducunt, qui dicendo persuadent: at istiusmodi cicurationes, nihil a brutorum illectatione et captura habent diversi.

VI. Sit autem versantis in Republica viri oratio non juvenilis aut ad theatrum conformata, veluti corollam ex delicatis ac floridis vocabulis undequaque colligentis: neque rursum, qualem Demosthenis dicebat Pytheas lucernam redolere, et sophistica di-

ἐνεργίας ἐνθυμήμασι πικροῖς καὶ περιόδοις περὶ τὴν διαβάσιν ἀποκριβωμένας· ἀλλ᾽ ὥσπερ οἱ τὴν θίξιν ἀξιοῦσι τῶν χορδῶν ἠθικὴν καταφαίνειν κρουστικὴν, οὕτω τῷ λόγῳ τοῦ πολιτευομένου καὶ εὔνοντος καὶ ἄρχοντος ἐπιφαινέσθω μὴ δεινότης, μηνία, μηδὲ εἰς ἔπαινον αὐτοῦ τιθέσθω τὸ ἘΚΤΙΚΩΣ, ΙΚΩΣ, ἢ ΔΙΑΙΡΕΤΙΚΩΣ, ἀλλὰ ἤθους ἀπλάστου καὶ τος ἀληθινοῦ, καὶ παῤῥησίας πατρικῆς, καὶ προνοίας, ἐσίως κηδομένης ὁ λόγος ἔστω μεστὸς, ἐπὶ τῷ ὁ κεχαρισμένον ἔχων καὶ ἀγωγὸν, ἔκ τε σεμνῶν ν καὶ νοημάτων ἰδίων καὶ πιθανῶν. Δέχεται δὲ ὁ ὸς λόγος δικανικοῦ μᾶλλον καὶ γνωμολογίας, καὶ καὶ μύθους, καὶ μεταφορὰς, αἷς μάλιστα κινοῦσιν οἱ οι μετρίως καὶ κατὰ καιρὸν· ὡς ὁ εἰπὼν, Μὴ ποιόφθαλμον τὴν Ἑλλάδα· καὶ Δημάδης, Τὰ ναυ-

ῖς] ... Schott. Mez. Potuit item rectius scriptum fuisse ab Auctore, ψυχροῖς, vel γλίσχροις.

abundantia, argu- constans acribus, et nibus ad normam ac accuratissime exac- quemadmodum Mu- ros tangi volunt mo- n pulsu: ita oratio licam gerentis, con- ac regentis præ se m debet vim dicendi ditatem: neque laudi it, si existimetur dix- *babitu, secundum ar- scientiam dividendi:* a esse debet ingenui- veræ animi magnitu- et paternæ libertatis, ac providentiæ, et sapientiæ suorum curam gerentis, in bono proposito gratiosam adhibens et ad persuadendum aptam rationem, ex verborum majestate, et sententiarum proprietate ac probabilitate. Admittit autem civilis oratio facilius quam judicialis sententias communes, historias, fabulas, et translationes, quibus maxime moventur animi hominum, modice et opportune usurpatis: quale fuit ejus, qui dixit, *Nolite Greciam altero oculo privare:* et Demadis, *qui se naufragia reipublicæ,*

ἄγια, λέγων, πολιτεύεσθαι τῆς πόλεως· καὶ ὁ Ἀρχίλοχος,

Μηδ' ὁ Ταντάλου λίθος τῆσδ' ὑπὲρ νήσου κρεμάσθω·

καὶ Περικλῆς, Τὴν λήμην τοῦ Πειραιῶς ἀφελεῖν, κελεύων· καὶ Φωκίων ἐπὶ τῆς Λεωσθένους νίκης, Καλὸν τὸ στάδιον εἰπὼν, δεδιέναι δὲ τοῦ πολέμου τὸν δόλιχον. Καθόλου δὲ ὁ μὲν ὄγκος καὶ τὸ μέγεθος τῷ πολιτικῷ μᾶλλον ἁρμόττει· παράδειγμα δὲ οἵ τε Φιλιππικοὶ, καὶ τῶν Θουκυδίδου δημηγοριῶν, ἡ Σθενελαΐδα τοῦ Ἐφόρου, καὶ Ἀρχιδάμου τοῦ βασιλέως ἐν Πλαταιαῖς, καὶ Περικλέους ἡ μετὰ τὸν λοιμόν· ἐπὶ δὲ τῶν Ἐφόρου καὶ Θεοπόμπου καὶ Ἀναξιμένους ῥητορειῶν καὶ περιόδων, ἃς περαίνουσιν ἐξοπλίσαντες τὰ στρατεύματα καὶ παρατάξαντες, ἔστιν εἰπεῖν,

Οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας.

ζ'. Οὐ μὴν ἀλλὰ καὶ σκῶμμα καὶ γελοῖον ἔστιν ὅτε γίνεται πολιτικοῦ λόγου μέρος, εἰ μὴ πρὸς ὕβριν ἢ βωμολοχίαν, ἀλλὰ χρησίμως ἐπιπλήττοντος ἢ διασύροντος λέγοιτο. Μάλιστα δὲ εὐδοκιμεῖ τὰ τοιαῦτα περὶ τὰς

aiebat, *tractare:* et Archilochi istuc,

Neve Tantali lapis
Huic immineat insulæ:

sic et Pericles *lemam Piræi auferri* jussit: et de Leosthenis victoria pronunciavit Phocion, *Stadium decursum sibi probari, sed metuere quomodo ejus belli dolichus absolvatur.* In universum autem majestas quædam civili orationi magis congruit: exemplo sunt Philippicæ, et apud Thucydidem conciones Sthenelaidæ Ephori, Archidami regis ad Platæas, et Periclis post pestem habita. Sed de Ephori, Theopompi, et Anaximenis orationculis ac comprehensionibus sententiarum, quibus utuntur in armandis et in aciem educendis exercitibus, licet effari,

Quis inter arma locus sit his ineptiis?

VII. Veruntamen et falsè dicta, et ridicula nonnunquam in partem orationis civilis admittuntur: cum non petulanter aut scurriliter, sed ab eo, qui utiliter increpet aut subsannet, proferuntur. Maxime autem probantur ista in responsionibus et objectioni-

ις ϰ̀ τὰς ἀπαντήσεις. Τὸ γὰρ ἐκ παρασκευῆς ϰ̀
ροντα, γελωτοποιῶντός ἐστιν, ϰαὶ δόξα ϰαϰοηθείας
ην· ὡς προσῆν τοῖς Κικέρωνος σκώμμασι, ϰ̀ τοῖς
ις τῦ πρεσβυτέρου, ϰ̀ Εὐξιθέου τῦ Ἀριστοτέλους
ς· οὗτοι γὰρ ἔσκωπτον πολλάκις ἀρχόμενοι. Ἀμυ-
δὲ συγγνώμην ἅμα ϰ̀ χάριν ὁ ϰαιρὸς δίδωσι· ϰα-
Δημοσθένει πρὸς τὸν αἰτίαν ἔχοντα κλέπτειν,
ζοντα δὲ αὐτῦ τὰς νυκτογραφίας, "Οἶδα ὅτι
υπῶ λύχνον ϰαίων" ϰ̀ πρὸς Δημάδην βοῶντα,
θένης ἐμὲ βύλεται διορθοῦν, ἡ ὗς τὴν Ἀθηνᾶν,
η μέντοι πέρυσιν ἡ Ἀθηνᾶ μοιχεύουσα ἐλήφθη"
δὲ ϰαὶ τὸ Ξεναινέτου πρὸς τὺς πολίτας λοιδοροῦν-
τὸν ὅτι στρατηγὸς ὢν πέφευγε, Μεθ' ὑμῶν γε, ὦ
κεφαλαί. Τὸ δὲ ἄγαν φυλακτέον ἐν τῷ γελοίῳ,
λυπουῦ ἀκαίρως τὺς ἀκούοντας, ἢ τὸν λέγοντα

[am subsannare de in-
idque non provocatus,
:t, risum captare puta-
ieque sine suspicione
tatis: quod vitium
: Ciceronis, Catonis
, Euxitheique sales,
ii Aristotelis fuit fa-
: ii enim sæpenumero
mordebant, nulla la-
iorum dicacitate. Qui
us defendit aut ulcis-
i opportunitas et ve-
onciliat, et gratiam:
ſt responsum Demos-
:i datum qui furti sus-
ucubrationes ipsius ex-
, *Novi me ægre tibi*
facere, qui lucernam uram: et
Demadi ab eodem, vocife-
ranti, Corrigere me vult De-
mosthenes, Sus Minervam,
*Illa quidem Minerva superiore
anno est in adulterio depre-
hensa.* Illud quoque Xenæ-
neti venustum, qui civibus ei
fugam tum factam ab ipso
cum ductor esset exercitus ex-
probrantibus, *Fugi*, respondit,
*sed vobiscum, O suavissimi ho-
mines.* Verum in ridiculis ca-
vendum est, ne quid ultra mo-
dum sit: tum ne quid exci-
dat, quod vel audientes offen-
dat alieno tempore, vel dicti
auctorem ostendat esse igno-

ποιεῖν ἀγεννὴ καὶ ταπεινόν, ὥσπερ τὰ Δημοκράτους· ἀναβαίνων μὲν γὰρ εἰς τὴν ἐκκλησίαν, ἔφη, Καθάπερ ἡ πόλις, μικρὸν ἰσχύειν καὶ μέγα φυσᾶν· ἐν δὲ τοῖς Χαιρωνικοῖς παρελθὼν εἰς τὸν δῆμον, "Οὐκ ἂν ἐβουλόμην κακῶς οὕτω πεπραγέναι τὴν πόλιν, ὥστε κἀμοῦ συμβουλεύοντος ὑμᾶς ἀκούειν" καὶ γὰρ καὶ τοῦτο μικρόν, κἀκεῖνο μανικόν, πολιτικῷ δ' οὐδ' ἕτερον ἁρμόττον. Φωκίωνος δὲ καὶ τὴν βραχυλογίαν ἐθαύμαζον· ὁ γοῦν Πολύευκτος ἀπεφαίνετο, "Ῥήτορα μέγιστον εἶναι Δημοσθένην, δεινότατον δὲ εἰπεῖν Φωκίωνα· πλεῖστον γὰρ αὐτοῦ τὸν λόγον λέξει βραχυτάτῃ νοῦν περιέχειν." καὶ ὁ Δημοσθένης, τῶν ἄλλων καταφρονῶν, εἰώθει λέγειν ἀνισταμένου Φωκίωνος, "Ἡ τῶν ἐμῶν λόγων κοπὶς ἀνίσταται."

η'. Μάλιστα μὲν οὖν ἐσκεμμένῳ πειρῶ καὶ μὴ διακένῳ τῷ λόγῳ χρῆσθαι πρὸς τοὺς πολλούς, μετ' ἀσφαλείας, εἰδὼς ὅτι καὶ Περικλῆς ἐκεῖνος ηὔχετο πρὸ τοῦ

bili aut abjecto animo. Exemplo sunt Democratis dicta. Nam is in concione dixit, *Se itidem ut ipsam civitatem parum posse, et magnos edere flatus.* Et clade Chæronensi accepta ad populum progressus, *Nollem*, inquit, *hac fortuna usam esse civitatem, ut ego quoque consiliarius vobis essem audiendus:* quorum dictorum hoc abjecti animi fuit, illud insani, civili homini neutrum conveniens. Brevitas autem dictorum Phocionis ipsa quoque admirationi fuit: eam ob rem Polyeuctus pronunciavit, *Maximum oratorem esse Demosthenem, Phocionem autem dicendi vi omnibus aliis antecellere, quod hujus oratio brevissimis verbis plurimum sententiæ complecteretur.* Et Demosthenes, reliquorum contemtor, dicere solebat Phocione ut diceret surgente, *Meorum dictorum securis surgit.*

VIII. In primis autem danda est tibi opera, ut ad multitudinem oratione utaris meditata caute, non inani, cum scias etiam magnum illum Periclem antequam in publico verba faceret optare

ορεῖν μηδὲ ῥῆμα μηδὲν ἀλλότριον τῶν πραγμάτων
εῖν αὐτῷ. Δεῖ δὲ ὅμως καὶ πρὸς τὰς ἀπαντήσεις τὸν
εὔστροφον ἔχειν καὶ γεγυμνασμένον· ὀξεῖς γὰρ αἱ
, καὶ πολλὰ φέροντες ἐν ταῖς πολιτείαις αἰφνίδια.
; Δημοσθένης ἠλαττοῦτο πολλῶν, ὥς φασι, παρὰ τὸν
ἀναδυόμενος καὶ κατοκνῶν· Ἀλκιβιάδην δὲ, ὁ Θεό-
ς ἱστορεῖ, μὴ μόνον ἃ δεῖ, λέγειν, ἀλλὰ καὶ ὡς δεῖ βου-
ον, πολλάκις ἐν αὐτῷ τῷ λέγειν ζητοῦντα καὶ συλ-
α τὰς λέξεις, ἐνίσχεσθαι καὶ διαπίπτειν. Ὁ δὲ ἀπὸ
ραγμάτων αὐτῶν ἀνιστάμενος καὶ ὑπὸ τῶν καιρῶν,
ὑπτει μάλιστα καὶ προσάγεται τοὺς πολλοὺς καὶ με-
ησιν. Οἷον ὁ Βυζάντιος Λέων ἧκε δή ποτε τοῖς
αίοις στασιάζουσι διαλεξόμενος· ὀφθεὶς δὲ μικρὸς
ασθεὶς, « Τί δὲ, » εἶπεν, « εἰ τὴν γυναῖκά μου ἐθεά-
θε μόλις ἐξικνουμένην πρὸς τὸ γόνυ; » πλείων οὖν
ο γέλως· « Ἀλλ᾽ ἡμᾶς, » ἔφη, « μικροὺς οὕτως
ς, ὅταν διαφερώμεθα πρὸς ἀλλήλους, ἡ Βυζαν-

, ne vel ullum ſibi ver- re alienum incideret. n tamen oportet oratio- d ea quæ occurrunt ver- exercitamque habere: ites enim ſunt occaſio- ultaque ferunt in ne- publicis repentina. Ita- t Demoſthenes multis ferior, ut aiunt, cum e occaſione tergiverſa- et Alcibiadem narrat hraſtus, cum non tan- uæ, ſed et quomodo di- erant, cuperet diſſerere, ter orandum verba con-

quirentem atque componentem hæſiſſe atque excidiſſe. Qui vero ab ipſis rebus et oblatis occaſionibus excitatur ad dicendum, is maxime percellit multitudinem atque permovet. Sic Leo Byzantius, cum ad Athenienſes ſeditione exagitatos verba facturus proceſſiſſet, et ob ſtaturæ brevitatem riſu exciperetur, *Quid*, inquit, *ſi meam videritis uxorem, quæ vix genu mihi attingit?* majore oborto riſu, *Atqui*, inquit, *nos ita parvos, ubi invicem diſſentimus, By-*

“ τίων πόλις οὐ χωρεῖ.” Πυθέας δὲ ὁ ῥήτωρ, ὅτε περὶ τὰς Ἀλεξάνδρου τιμὰς ἀντέλεγεν, εἰπόντος τινός, “ Οὕτω “ σὺ νέος ὢν περὶ πραγμάτων τολμᾷς λέγειν τηλι- “ κούτων;” “ Καὶ μὴν Ἀλέξανδρος,” εἶπεν, “ ἐμοῦ “ νεώτερός ἐστιν ὃν ψηφίζεσθε θεὸν εἶναι.”

θ'. Δεῖ δὲ καὶ φωνῆς εὐεξίᾳ καὶ πνεύματος ῥώμῃ πρὸς οὐ φαῦλον ἀλλὰ πάμμαχον ἀγῶνα τὸν τῆς Πολιτείας ἠθλημένα κομίζειν τὸν λόγον, ὡς μὴ πολλάκις ἀπαγορεύοντα καὶ σβεννύμενον ὑπερβάλλοι τις αὐτὸν

Ἅρπαξ κικράκτης, κυκλοβόρου φωνὴν ἔχων.

Κάτων δὲ περὶ ὧν οὐκ ἤλπιζε πείσειν, τῷ προκατέχεσθαι χάρισι καὶ σπουδαῖς τὸν δῆμον ἢ τὴν βουλήν, ἔλεγε τὴν ἡμέραν ὅλην ἀναστάς, καὶ τὸν καιρὸν οὕτως ἐξέκρουε. Περὶ μὲν οὖν τῆς τοῦ λόγου παρασκευῆς καὶ χρείας ἱκανὰ ταῦτα τῷ δυναμένῳ τὸ ἀκόλουθον προσεξευρίσκειν.

ι'. Εἰσβολαὶ δὲ καὶ ὁδοὶ δύο τῆς Πολιτείας εἰσίν, ἡ μὲν ταχεῖα καὶ λαμπρὰ πρὸς δόξαν, οὐ μὴν ἀκίνδυνος, ἡ

zantium non capit. Et Pytheas rhetor, cum contra honores Alexandro decretos dissereret, dicente quodam, *Tune, cum adeo sis juvenis, tantis de rebus audes dicere?* respondit, *Atqui Alexander, quem vos decreto vestro in deorum refertis numerum, me natu minor est.*

IX. Oportet etiam bono vocis habitu ac robore spiritus exercitatam atque firmatam orationem afferre ad Reipublicæ non vilia, sed acerrima certamina: ne aliquando defatigatum dicendo atque exstinctum superet aliquis

Rapax clamator, Cycloberi vocem gerens.

Cato, cum se gratia ac studiis præoccupato senatu populove obtinere caussam non posse videret, totam diem dicendo exegit, itaque occasionem adversariis præripuit. Ac de orationis quidem apparatu usuque dicta hæc sufficiunt ei, qui porro id, quod horum est consequens, inveniendo addere potest.

X. Cæterum ad Rempublicam duo sunt aditus et quasi viæ: altera brevis et ad gloriæ splendorem expedita, non

τέρα καὶ βραδυτέρα, τὸ δὲ ἀσφαλὲς ἔχουσα. Οἱ μὲν γὰρ εὐθὺς, ὥσπερ ἐξ ἄκρας πελαγίου, ως ἐπιφανοῦς καὶ μεγάλης, ἔχούσης δὲ τόλμαν, , ἀφῆκαν ἐπὶ τὴν Πολιτείαν, ἡγούμενοι λέγειν · Πίνδαρον, ὡς

Ἀρχομένῳ ἔργου πρόσωπον χρὴ θέμεν τηλαυγές·

δεχόνται περθυμότερον οἱ πολλοὶ κόρῳ τινὶ καὶ νῇ τῶν συνήθων τὸν ἀρχόμενον, ὥσπερ ἀγωνιστὴν θεα- τὸν φθόνον ἐκπλήττουσιν αἱ λαμπρὰν ἔχουσαι καὶ αὔξησιν ἀρχαὶ καὶ δυνάμεις. Οὔτε γὰρ πῦρ, φησὶν ων, καπνὸν ποιεῖν, οὔτε δόξαν φθόνον, ἢν εὐθὺς ψῃ καὶ ταχέως, ἀλλὰ τοὺς κατὰ μικρὸν αὐξανο- καὶ σχολαίως, ἄλλον ἀλλαχόθεν ἐπιλαμβάνεσθαι. λλοὶ πρὶν ἀνθῆσαι περὶ τὸ βῆμα κατεμαράνθη- ὅπου δὲ, ὥσπερ ἐπὶ τοῦ Λάδα λέγουσιν,

Ὁ ψόφος ἦν ὕσπληγγος ἐν οὔασιν, ἔνθα καὶ ἐστεφανοῦτο,

—ἐστεφανοῦτο] Corrigendum ex Epigrammate Anthol. II, 1, 9. οὔασι ἐστεφανοῦται. Plura vide apud Xyl.

ericuli expers: altera, s pedestris ac tardior, r. Sunt enim qui a aliquo et magno fa- quod non fiat sine au- veluti a promontorio in altum procurrente s, in Rempublicam la, existimantes recte a Pindaro,

e opere, primordium
ponendum est late fulgens:

ordientem et plerique rum satietate ac tædio s excipiunt, quemadmodum spectatores certatorem, invidiamque absterret splendido ac celeri incremento constans potentia. Nam, ut ait Aristo, *neque fumum ignis gignit, neque invidiam gloria, si subito ac celeriter effulgeat: qui paulatim extolluntur et tarde, iis alii aliunde manus injiciunt.* Unde factum, ut multi circa tribunal ante florem emarcuerint. Ubi autem, quemadmodum Ladam ferunt carcerum funiculo adhuc in auribus a laxatione so-

πρεσβεύων, ἢ θριαμβεύων, ἢ στρατηγῶν ἐπιφανῶς, οὔτε οἱ φθονοῦντες, οὔτε οἱ καταφρονοῦντες ὁμοίως ἐπὶ τούτων ἰσχύουσιν· οὕτω παρῆλθεν εἰς δόξαν Ἄρατος, ἀρχὴν ποιησάμενος πολιτείας τὴν Νικοκλέους τοῦ τυράννου κατάλυσιν· οὕτως Ἀλκιβιάδης, τὰ Μαντινικὰ συστήσας ἐπὶ Λακεδαιμονίους. Πομπήϊος δὲ καὶ θριαμβεύειν ἠξίου μήπω παριὼν εἰς σύγκλητον· οὐκ ἐῶντος δὲ Σύλλα, “Πλείονες,” ἔφη, “τὸν ἥλιον ἀνατέλλοντα προσκυνοῦσιν ἢ δυόμενον” καὶ Σύλλας ὑπεῖξε, τοῦτο ἀκούσας. Καὶ Σκηπίωνα δὲ Κορνήλιον, οὐκ ἀφ' ἧς ἔτυχεν ἀρχῆς ὁ Ῥωμαίων δῆμος ἀγορανομίαν μετερχόμενον, ἐξαίφνης ὕπατον ἀπέδειξε παρὰ τὸν νόμον, ἀλλὰ θαυμάσας αὐτοῦ μειρακίου μὲν ὄντος τὴν ἐν Ἰβηρίᾳ μονομαχίαν καὶ νίκην, μικρὸν δὲ ὕστερον τὰ πρὸς Καρχηδόνι χιλιαρχοῦντος ἔργα, περὶ ὧν καὶ Κάτων ὁ πρεσβύτερος ἀνεφώνησεν,

Οἶος πέπνυται, τοὶ δὲ σκιαὶ ἀΐσσουσιν.

nante decurſo ſtadio coronam reportaſſe, ſubito aliquis legatione obita, triumpho ducto, aut ſummo potius magiſtratu efflorescit: in eum neque invidia, neque contemtus quicquam facile poſſunt. Hac via Aratus ad gloriam contendit, initium gerendæ Reipublicæ a Nicoclis tyranni excidio faciens: ſic Alcibiades, Mantinenſe contra Lacedæmonios bellum conflando. Pompeius etiam triumphum poſtulavit, nondum ſenator factus, et Sylla negante, *Plures eſſe*, dixit, *qui orientem, quam qui accidentem Solem adorent*: quo audito conceſſit Sylla. Cornelium quoque Scipionem, cum ædilitatem peteret, ſubito conſulem præter leges deſignavit populus Romanus, non ſane levia ſecutus principia: ſed quod et victoriam ejus quam adoleſcens etiamnum in Hiſpania ſingulari prœlio obtinuerat, et paulo poſt res ab eo tribuno militum ad Carthaginem geſtas admirabatur, de quibus etiam Cato major exclamavit,

Tanquam umbræ volitant alii, ſolus ſapit iſte.

ὅτι τὰ πράγματα τῶν πόλεων οὐκ ἔχει ἡγεμονίας, οὐδὲ τυραννίδων καταλύσεις, οὐδὲ ὰς πράξεις, τίνα ἄν τις ἀρχὴν ἐπιφανοῦς λαμπρᾶς Πολιτείας; Αἱ δίκαι γε λείπονται ῃ, καὶ πρεσβεῖαι πρὸς αὐτοκράτορα, ἀνδρὸς ι καὶ θάρσος ἅμα καὶ νοῦν ἔχοντος δεόμεναι. ὲ ἔστι καὶ τῶν παρειμένων ἐν ταῖς πόλεσι αλαμβάνοντα, ἢ τῶν ἐξ ἔθους φαύλου παραγ- ἐπ' αἰσχύνῃ τινὶ τῆς πόλεως, ἢ βλάβῃ, μεθ- πρὸς αὐτὸν ἐπιστρέφειν. Ἤδη δὲ καὶ δίκη καλῶς δικασθεῖσα, καὶ πίστις ἐν συνηγορίᾳ ἀδίκου ἰσχυρὸν ὑπὲρ ἀσθενοῦς, καὶ παρρησία εμόνα μοχθηρὸν ὑπὲρ τοῦ δικαίου, κατέστησεν ἀρχὴν Πολιτείας ἔνδοξον. Οὐκ ὀλίγοι δὲ καὶ ις ηὐξήθησαν, ἐπιχειρήσαντες ἀνθρώποις ἐπι- ουσιν ἀξίωμα καὶ φοβερόν· εὐθὺς γὰρ ἡ τοῦ κατα-

πιστρέφειν] τὴν πόλιν, malim diserte additum quam subauditum.

ro tempestate, cum ellicis imperiis, ty- excidiis, aut con- actionibus careant, principium illustris ica versationis possit stant utique judicia et ad Imperatorem , quæ virum acrem, icia simul et consilio n flagitant. Multa urbibus præclara ur, quibus restitu- ilta cum dedecore urbium ex prava ine introducta sunt, quibus corrigendis animos multitudinis in te convertas. Quin et nonnullis magna in judicio recte disceptata controversia, aut fideli patrocinio impotentis contra adversarium potentem, et libera justitiæ adversus principem injustum defensio, primum in Republica locum cum splendore paraverunt. Alios inimicitiæ extulerunt, qui homines dominationem invisam atque formidolosam gerentes adorti sunt: statim enim potentia dejecti, cum meliore existima-

λυθέντος ἰσχὺς, τῷ κρατήσαντι μετὰ βελτίονος δόξης C
ὑπάρχει. Τὸ μὲν γὰρ ἀνδρὶ χρηστῷ καὶ δι' ἀρετὴν πρωτεύοντι προσμάχεσθαι κατὰ φθόνον, ὡς Περικλεῖ Σιμμίας, Ἀλκμαίων δὲ Θεμιστοκλεῖ, Πομπηΐῳ δὲ Κλώδιος, Ἐπαμεινώνδᾳ δὲ Μενεκλείδης ὁ ῥήτωρ, οὔτε πρὸς δόξαν καλὸν, οὔτε ἄλλως συμφέρον· ὅταν γὰρ ἐξαμαρτόντες οἱ πολλοὶ πρὸς ἄνδρα χρηστὸν, εἶτα, ὃ γίνεται ταχέως, ἐπ' ὀργῇ μετανοήσωσι, πρὸς τοῦτο τὴν ῥᾴστην ἀπολογίαν δικαιοτάτην νομίζουσιν, ἐπιτρῖψαι τὸν ἀναπείσαντα καὶ καταρξάμενον. Τὸ μέντοι φαῦλον ἄνθρωπον, ἀπονοίᾳ δὲ καὶ δεινότητι πεποιημένον ὑφ' αὑτῷ τὴν πόλιν, οἷος ἦν Κλέων Ἀθήνησι καὶ Κλεοφῶν, D
ἐπαναστάντα ταπεινῶσαι καὶ καθελεῖν, λαμπρὰν ποιεῖ τὴν πάροδον ὥσπερ δράματος, τῆς Πολιτείας. Οὐκ ἀγνοῶ δὲ ὅτι καὶ βουλὴν τινὲς ἐπαχθῆ καὶ ὀλιγαρχικὴν κολούσαντες, ὥσπερ Ἐφιάλτης Ἀθήνησι καὶ Φορμίων παρ' Ἠλείοις, δύναμιν ἅμα καὶ δόξαν ἔσχον· ἀλλὰ

tione in eum, qui dejecit, tranſit. Sane ob invidiam ſe opponere viro bono, et quem ſua virtus ad ſumma evexit, qualis fuit in Periclem Simmias, in Themiſtoclem Alcmæon, Clodius in Pompeium, Meneclides rhetor in Epaminondam, neque ad gloriam facit, neque omnino utile eſt: cum enim populus aliquid in bonum virum commiſit culpæ, ubi primum, quod celeriter fit, iræ pœnituit, eam quæ juſtiſſima eſt, expeditiſſimam ſui excuſandi delicti rationem arripit, ut auctorem injuriæ bono viro factæ ac ſuaſorem peſſundet. Qui vero contra improbum hominem, ac qui ſua audacia et calliditate civitatem ſubegit, quales erant Athenis Cleon et Clitophon, inſurgens eum opprimit, is progreſſum, tanquam fabulæ in ſcenam, in Rempublicam ſplendidum ſibi conficit. Non ſum neſcius, quoſdam, ſenatu moleſto et paucis imperium vindicante dejecto, potentiam et gloriam adeptos, ut Athenis Ephialtem, apud Eleos Phormionem: verum in hoc magnum eſt ei, qui

ἀρχομένῳ Πολιτείας οὗτος ὁ κίνδυνός ἐστι. Διὸ
ινα Σόλων ἔλαβεν ἀρχὴν, διεστώσης εἰς τρία μέρη
λεως, τὸ τῶν Διακρίων λεγομένων, καὶ τὸ τῶν Πε-
ὶ τὸ τῶν Παραλίων· οὐδενὶ γὰρ ἐμμίξας ἑαυτὸν,
κοινὸς ὢν πᾶσι, καὶ πάντα λέγων καὶ πράττων
ὁμόνοιαν, ᾑρέθη νομοθέτης ἐπὶ τὰς διαλύσεις, καὶ
ησεν οὕτω τὴν ἀρχήν. Ἡ μὲν οὖν ἐπιφανεστέρα
ος εἰς τὴν Πολιτείαν τοσαύτας ἔχει καὶ τοιαύτας

. Τὴν δὲ ἀσφαλῆ καὶ σχολαίαν εἵλοντο πολλοὶ τῶν
ων, Ἀριστείδης, Φωκίων, Παμμένης ὁ Θηβαῖος,
λλος ἐν Ῥώμῃ, Κάτων, Ἀγησίλαος ὁ Λακεδαι-
τούτων γὰρ ἕκαστος, ὥσπερ οἱ κιττοὶ τοῖς ἰσχύουσι
δένδρων περιπλεκόμενοι συνεξανίστανται, προσ-
ν ἀνδρὶ πρεσβυτέρῳ ἔτι νέος καὶ ἄδοξος ἐνδόξῳ,
μικρὸν αἰρόμενος ὑπὸ τῆς περὶ ἐκεῖνον δυνάμεως,
συναυξανόμενος, ἤρειστε καὶ κατερρίζωσεν ἑαυτὸν εἰς τὴν
τείαν. Ἀριστείδην μὲν γὰρ ηὔξησε Κλεισθένης, καὶ

m primum se ad Rem-
m confert, periculum:
iore usus est principio
qui civitate in tres di-
rtes, Diacriorum, Pe-
n, Paralorum, nulli ha-
immiscens, sed com-
a omnibus præbens,
que dicta ac facta sua ad
diam dirigens, legum-
d tollenda dissidia delec-
empublicam constituit.
ot ac talia sunt prin-
splendidioris ad capes-
Rempublicam aditus.

XI. Tutum autem et tardum illum multi nobiles viri secuti sunt, Aristides, Phocion, Pammenes Thebanus, Lucullus, Cato, Agesilaus Spartanus: horum unusquisque imitatus hederam, quæ validam amplexa arborem simul attollitur, seni alicui juvenis, et illustri obscurus se applicuit, ejusque potentiæ paulatim sese subjiciens atque una augescens, radices in Rempublicam egit. Nam Aristidem auxit Clisthenes, Pho-

Φωκίωνα Χαβρίας, Λεύκολλον δὲ Σύλλας, Κάτωνα δὲ Μάξιμος, Ἐπαμεινώνδαν δὲ Παμμένης, καὶ Λύσανδρος Ἀγησίλαον· ἀλλ' οὗτος μὲν φιλοτιμίας ἀκαίρου καὶ ζηλοτυπίας δόξαν ὑβρίσας, ἀπέῤῥιψε ταχὺ τὸν καθηγεμόνα τῶν πράξεων· οἱ δὲ ἄλλοι καλῶς καὶ πολιτικῶς καὶ ἄχρι τέλους ἐθεράπευσαν καὶ συνεπεκόσμησαν, ὥσπερ τὰ πρὸς ἥλιον ὑφιστάμενα σώματα, τὸ λαμπρῦνον αὐτοὺς πάλιν ἀφ' ἑαυτῶν αὔξοντες καὶ συνεκφωτίζοντες. Οἱ γοῦν Σκηπίωνι βασκαίνοντες ὑποκριτὴν αὐτὸν ἀπεφαίνοντο τῶν πράξεων, ποιητὴν δὲ Λαίλιον τὸν ἑταῖρον· ὁ δὲ Λαίλιος ὑπ' οὐδενὸς ἐπήρθη τούτων, ἀλλ' ἀεὶ διετέλεσε τῇ Σκηπίωνος ἀρετῇ καὶ δόξῃ συμφιλοτιμούμενος. Ἀφράνιος δὲ Πομπηΐου φίλος, εἰ καὶ πάνυ ταπεινὸς ἦν, ὅμως ἐπίδοξος ὢν ὕπατος αἱρεθήσεσθαι, Πομπηΐου σπουδάζοντος ἑτέροις, ἀπέστη τῆς φιλοτιμίας, εἰπὼν, « Οὐκ ἂν οὕτω λαμπρὸν αὐτῷ γενέσθαι τὸ τυχεῖν

F. 7. φιλοτιμίας—ὑβρίσας] Deest quid ad integritatem. Mez. corrigit ὑπὸ φιλοτιμίας: recte quidem: sed præterea legendum δόξας ὑβρισθείς. Reisk. δόξῃ ἐξυβρίσας.

cionem Chabrias, Lucullum Sylla, Catonem Maximus, Epaminondam Pammenes, Lysander Agesilaum. Verum hic intempestivo contentionis studio et opinione æmulationis irritatus, contumeliose suum agendi præceptorem abjecit: reliqui præclare, et civiliter, et ad finem usque coluerunt suos et exornarunt: quemadmodum solent objecta Soli corpora, ipsos vicissim augentes et illustrantes. Certe qui Scipioni invidebant, histrionem eum vocabant, actionum auctorem esse Lælium ipsius socium: neque Lælium tamen quicquam istorum inflavit, sed perrexit suo studio virtutem et gloriam Scipionis amplificare. Afranius autem Pompeii amicus, quanquam plane humili loco ortus, tamen cum se consulem designatum iri certo crederet, ubi intellexit Pompeium aliis cupere, petitione destitit, dicens, *Consulatum adepto sibi non tantum accessurum splendoris, quan-*

απείας, ὡς ἀνιαρὸν ἅμα καὶ δυσχερὲς, εἰ Πομ- μὴ θέλοντος μηδὲ συμπράττοντος" ἐνιαυτὸν ἦν μος μόνον οὔτε τῆς ἀρχῆς ἀπέτυχε καὶ τὴν φιλίαν :. Τοῖς δὲ οὕτω χειραγωγουμένοις ὑφ' ἑτέρων αν ἅμα συμβαίνει ἐνὶ χαρίζεσθαι καὶ πολλοῖς, συμβαίνῃ δύσκολον, ἧττον ἀπεχθάνεσθαι· διὸ καὶ ος Ἀλεξάνδρῳ παρῄνει, "Κτᾶσθαι φίλους, ξεστι βασιλεύοντος ἑτέρου πρὸς χάριν ὁμιλοῦντα ιλοφρονούμενον."

Αἱρεῖσθαι δὲ δεῖ τὸν ἀρχόμενον Πολιτείας ἡγεμόνα, ῶς τὸν ἔνδοξον καὶ δυνατὸν, ἀλλὰ καὶ τὸν δι' ἀρετὴν Ὡς γὰρ οὐ πᾶν δένδρον ἐθέλει προσίεσθαι καὶ εριπλεκομένην τὴν ἄμπελον, ἀλλ' ἔνια καταπνίγει φθείρει τὴν αὔξησιν αὐτῆς· οὕτως ἐν ταῖς πό- μὴ φιλόκαλοι, φιλότιμοι δὲ καὶ φίλαρχοι μόνον, ίενται τοῖς νέοις πράξεων ἀφορμὰς, ἀλλ' ὥσπερ ἑαυτῶν τὴν δόξαν ἀφαιρουμένους, πιέζουσιν ὑπὸ

tiæ ac difficultatis, si neque volente neque e consul crearetur: io tantum anno cum ſſet, deinde neque re- ſt paſſus, et amicitiam rit. Porro qui hoc aſi manu ducuntur ad gloriam, ii ſimul t multitudini gratifi- iinuſque ſunt in odio incommodi accidit. t Philippus Alexan- tabatur, *ut dum lice- regnante, amicos ſibi et officiis ſuis pa- raret.*

XII. Deligendus autem eſt dux ad Rempublicam non ſimpliciter glorioſus et potens, ſed et qui ob virtutem talis ſit. Nam ſicut non quævis arbor patitur educitque circumplicatam ſibi vitem, ſed quædam ſuffocant, et incrementis ejus officiunt: ita in rebus publicis qui non ſunt ſtudioſi bonorum, ſed tantum honorum et potentiæ cupidi, nullas concedunt juvenibus actionum occaſiones, ſed gloriam ſibi eos quaſi alimentum præripi-

φθόνου καὶ καταμαραίνουσιν· ὡς Μάριος ἐν Λιβύῃ, καὶ πάλιν ἐν Γαλατίᾳ πολλὰ διὰ Σύλλα κατορθώσας, ἐπαύσατο χρώμενος, ἀχθεσθεὶς μὲν αὐτοῦ τῇ αὐξήσει, πρόφασιν δὲ τὴν σφραγῖδα ποιησάμενος, ἀπέρριψεν· D ὁ γὰρ Σύλλας ὅτε τῷ Μαρίῳ στρατηγοῦντι συνῆν ταμιεύων ἐν Λιβύῃ πεμφθεὶς ὑπ' αὐτοῦ πρὸς Βόκχον ἤγαγεν Ἰογόρθαν αἰχμάλωτον, οἷα δὲ νέος φιλότιμος ἄρτι δόξης γεγευμένος οὐκ ἤνεγκε μετρίως τὸ εὐτύχημα, γλυψάμενος δὲ εἰκόνα τῆς πράξεως ἐν σφραγῖδι, τὸν Ἰογόρθαν αὐτῷ παραδιδόμενον, ἐφόρει· καὶ τοῦτο ἐγκαλῶν Μάριος ἀπέρριψεν αὐτόν· ὁ δὲ πρὸς Κάτλον καὶ Μέτελλον ἄνδρας ἀγαθοὺς καὶ Μαρίῳ διαφόρους μεταστάς, ταχὺ τὸν Μάριον ἐξήλασε καὶ κατέλυσε τῷ ἐμφυλίῳ πολέμῳ μικροῦ δεήσαντα τὴν Ῥώμην ἀνατρέψαι. Σύλλας μέντοι καὶ Πομπήιον ἐκ νέου μὲν ἦρεν ὑπεξανιστάμενος αὐτῷ καὶ τὴν κεφαλὴν ἀποκαλυπτόμενος ἐπιόντι· καὶ τοῖς ἄλλοις νέοις πράξεων ἡγεμονικῶν μεταδιδοὺς ἀφο-

entes invidia premunt. Sic Marius cum in Africa, ac rursum in Galatia multa opera Syllæ feliciter gessisset, progressus ad gloriam ejus ægre ferens, uti ipso desiit, planeque abjecit, sigilli usus præscriptione. Etenim Sylla cum esset Marii prætoris in Africa quæstor, missus ab eo ad Bocchum, adduxit Jugurtham captivum, eumque successum, utpote ambitiosus juvenis, et qui recens gloriæ gustum percepisset, non tulit mediocriter: sed imaginem rei in annulo insculpens Jugurtham sibi traditum, pro sigillo gestavit: itaque ei vitio vertens Marius, hominem abjecit: at Sylla ad Catulum Metellumque viros bonos et Mario inimicos transiit, moxque Marium expulit ac dejecit civili bello, cum is pæne Romam evertisset. Sane Sylla Pompeium quoque jam inde ab adolescentia extulit, assurgens accedenti, caputque detegens: reliquisque juvenibus actionum principe dig-

ἐνίους δὲ καὶ παρεξύνων ἄκοντας, ἐνέπλησε φιλο-
καὶ ζήλου τὰ στρατεύματα· καὶ πάντων ἐκράτησε,
θυμος ἦν) μὴ μόνος, ἀλλὰ πρῶτος καὶ μέγιστος ἐν
ις καὶ μεγάλοις. Τούτων οὖν ἔχεσθαι δεῖ τῶν ἀνδρῶν,
οις ἐμφύεσθαι, μὴ καθάπερ ὁ Αἰσώπου βασιλίσκος,
τῶν ὤμων τοῦ ἀετοῦ κομισθεὶς, αἰφνίδιον ἐξέπτη καὶ
θασεν, οὕτως τὴν ἐκείνων δόξαν ὑφαρπάζοντας αὐ-
ἀλλὰ παρ' ἐκείνων ἅμα μετ' εὐνοίας καὶ φιλίας
νοντας· ὡς οὐδὲ ἄρξαι καλῶς τοὺς μὴ πρότερον
δουλεύσαντας, ἥ φησιν ὁ Πλάτων, δυναμένους.

. Ἕπεται δὲ τούτοις ἡ περὶ φίλων κρίσις, μήτε τὴν
οκλέους ἐπαινοῦσα, μήτε τὴν Κλέωνος, διάνοιαν.
ὁ γὰρ Κλέων, ὅτε πρῶτον ἔγνω τῆς Πολιτείας
θαι, τοὺς φίλους συναγαγὼν εἰς ταυτὸ, διελύσατο
ιλίαν πρὸς αὐτοὺς, ὡς πολλὰ τῆς ὀρθῆς καὶ δι-
προαιρέσεως μαλάσσουσαν ἐν τῇ Πολιτείᾳ καὶ
γουσαν· ἄμεινον δ' ἂν ἐποίησε τὴν φιλοπλουτίαν
λῶν τῆς ψυχῆς καὶ τὴν φιλονεικίαν, καὶ φθόνου καὶ

subministrans occasio- ıosdam etiam invitos in- , gloriæ studio et æ- ɔne implevit exercitus, ļue sub se habuit, ut ın solus, sed primus et ıus esse inter multos et s cuperet. Tales ergo ıendi sunt, iisque adhæ- ı: nec, quomodo regu- ĺsopi, humeris aquilæ , subito evolavit et an- t, ita eorum debemus ri gloriam: sed ab iis amice et cum benevolentia accipere: quando qui non ante servivere, dominari recte non possunt, ut ait Plato.

XIII. Sequitur de amicis judicium, quo neque Themistoclis probamus, neque Cleonis sententiam. Cleon enim ad Rempublicam se collaturus, conductis in unum amicis suis, amicitiæ eorum renunciavit, quod ea in Republica persæpe a recta et justa voluntate animum averteret atque emolli-

κακοηθείας καθήρας αὑτόν· οὐ γὰρ ἀφίλων αἱ πόλεις ἀνδρῶν καὶ ἀνεταίρων, ἀλλὰ χρηστῶν καὶ σωφρόνων δέονται· νυνὶ δὲ τοὺς μὲν φίλους ἀπήλασεν,

> Ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων οἰμωζομένων ἐλιχμῶντο
> Περὶ αὐτόν,

ὡς οἱ κωμικοὶ λέγουσι· καὶ τραχὺς ὢν πρὸς τοὺς ἐπιεικεῖς καὶ βαρύς, αὖθις ὑπέβαλε τοῖς πολλοῖς πρὸς χάριν ἑαυτόν,

> Γεροντάγωγῶν, καὶ ἀναμισθαρνεῖν διδούς,

καὶ τὸ φαυλότατον καὶ τὸ νοσοῦν μάλιστα τοῦ δήμου προσεταιριζόμενος ἐπὶ τοὺς ἀρίστους. Ὁ δὲ Θεμιστοκλῆς πάλιν πρὸς τὸν ἀποφηνάμενον ὡς ἄρξει καλῶς ἴσον ἅπασι παρέχων ἑαυτόν, « Μηδέποτε, » εἶπεν, « εἰς τοιοῦτον ἐγὼ « καθίσαιμι θρόνον, ἐν ᾧ πλέον οὐχ ἕξουσιν οἱ φίλοι « παρ' ἐμοὶ τῶν μὴ φίλων » οὐδὲ οὗτος ὀρθῶς τῇ φιλίᾳ κατεπαγγελλόμενος τὴν Πολιτείαν, καὶ τὰ κοινὰ καὶ δημόσια ταῖς ἰδίαις χάρισι καὶ σπουδαῖς ὑφιέμενος· καίτοι

ret. Rectius hic divitiarum et contendendi cupiditatem animo ejecisset, eumque ab invidia et perversitate purgasset. Non enim hominibus amicorum et sodalium exsortibus, sed bonis indiget Respublica ac temperantibus. Nunc ille amicos quidem repudiavit, *centum autem in orbem capita violentorum adulatorum lambebant*, ut aiunt Comici: et qui asperum se præberet ac molestum bonis, rursum multitudini gratiæ captandæ caussa se submittebat,

> *Ductans senes, atque pueros rursus educans,*

plebisque perditissimam ac vitiosissimam partem adversus optimates sibi adsciscens. Contra Themistocles cuidam pronuncianti, Optime ipsum Reipublicæ præfuturum, si se omnibus æqualem præberet, respondit, *Absit ut ego tali insideam solio, unde non plus a me ad amicos quam ad alios perveniat.* Ne hic quidem recte, qui civitatem amicitiæ addiceret, resque publicas privato favori ac studio submitteret:

ρὸς Σιμωνίδην ἀξιοῦντά τι τῶν μὴ δικαίων, "Οὔτε οιητὴς," ἔφη, "σπουδαῖός ἐστιν ᾄδων παρὰ μέλος, ἄρχων ἐπιεικὴς, παρὰ τὸν νόμον χαριζόμενος." γὰρ ὡς ἀληθῶς καὶ σχέτλιον, εἰ ναύτας μὲν ἐκ-αι κυβερνήτης, καὶ κυβερνήτην ναύκληρος,

> Εὖ μὲν ἐνὶ πρύμνῃ οἰήϊον, εὖ δὲ κεραίην
> Εἰδότας ἐντείνασθαι ἐπερχομένοιο ἀνέμοιο·

ις ἀρχιτέκτων ὑπουργοὺς καὶ χειροτέχνας, οἳ μὴ διαφθεροῦσιν αὐτοῦ τὸ ἔργον, ἀλλ' ἄριστα συνεκπονήσουσιν· πολιτικὸς, ἀριστοτέχνας τις ὤν, κατὰ Πίνδαρον, καὶ γὸς εὐνομίας καὶ δίκης, οὐκ εὐθὺς αἱρήσεται φίλους παθεῖς, καὶ ὑπηρέτας, καὶ συνενθουσιῶντας αὐτῷ τὸ καλὸν, ἄλλου κ' ἄλλου πρὸς ἄλλην ἀεὶ χρείαν λοντος αὐτὸν ἀδίκως καὶ βιαίως· οὐδὲν γὰρ ὀφθή- διαφέρων οἰκοδόμου τινὸς ἢ τέκτονος ἀπειρίᾳ καὶ

λλου—κάμπτοντος] Corrigendum, ἀλλ' ἄλλους πρὸς ἄλλην ἀεὶ χρείαν κάμπτοντας.

dem Simonidi abs se ali- injustum petenti idem dit, *Neque poëtam pro- sse, qui præter cantilenæ canteт, neque magistra- robum, qui præter leges cetur.* Indignum enim est ac miserandum, cum eligat gubernator, et natorem navis magister,

> *recte in puppi norit defigere cla- vum,*
> *ecte antennas surgente intendere vento:*

opus Leocharis. Orationes ipsius feruntur sexaginta: de quibus germanæ sunt, si Dionysium sequimur quinque et viginti: si Cæcilium, octo et viginti: reliquæ adulterinæ. Alienus fuit a declamatione publica: itaque de tribus ad ipsum audiendum aliquando

ασχεῖν, τὸ δὲ τρίτον ἀπέλυσε, φάμενος, " Εἰς
ὼ 'πιοῦσαν ἥξειν· νῦν γὰρ αὐτῷ τὸ θέατρον εἶναι
ἀκρωτηρίῳ." Εἰώθει δὲ καὶ πρὸς τοὺς γνωρίμους
λέγειν, ὡς " Αὐτὸς μὲν δέκα μνῶν διδάσκοι, τῷ
αὐτὸν διδάξαντι τόλμαν καὶ εὐφωνίαν δώσειν δισχι-
χιλίας." Καὶ πρὸς τὸν ἐρόμενον διὰ τί οὐκ ὢν
ς ἱκανός, ἄλλους ποιεῖ, εἶπεν, " Ὅτι καὶ αἱ ἀκόναι
ταὶ μὲν τεμεῖν οὐ δύνανται, τὸν δὲ σίδηρον τμητικὸν
οιοῦσιν." Εἰσὶ δ' οἳ καὶ τέχνας αὐτὸν λέγουσιν συγ-
αφέναι· οἱ δὲ οὐ μεθόδῳ, ἀλλ' ἀσκήσει χρήσασθαι.
ίτην δὲ οὐδέ ποτε εἰσέπραξε μισθόν. Προσέταττε
οῖς γνωρίμοις εἰς τὰς ἐκκλησίας ἀπαντῶσιν, ἀνα-
ν αὐτῷ τὰ εἰρημένα. Ἐλυπήθη δὲ καὶ οὐ μετρίως
τῷ Σωκράτους θανάτῳ, καὶ μελανειμονῶν τῇ ὑστεραίᾳ
ῆλθε. Πάλιν δὲ ἐρομένου τινὸς αὐτὸν τί ῥητορική,
, " Τὰ μὲν μικρὰ, μεγάλα, τὰ δὲ μεγάλα, μικρὰ

ἀκρωτηρίῳ] Legendum, ἀκροατηρίῳ, cum Wolf. Xyl. vers. Mez. Salmas.

ntibus, duos retinuit,
in posterum diem re-
: quod diceret *sibi nunc
rum esse in auditorio.* So-
etiam discipulis suis di-
*se docere decem minarum
ide: sed ei qui ipsum au-
r ac vocalem docendo red-
decem millia minarum
rum.* Interrogatus cur
ipse ad dicendum non sa-
ffet instructus, alios ta-
instrueret, respondit: *Co-
tiam non habere faculta-
secandi, habere autem vim*
ferri acuendi. Sunt qui eum praecepta artis oratoriae scripsisse dicant: alii non via ac ratione usum, sed sola exercitatione, tradunt. A cive nunquam ullo mercedem exegit. Discipulis ad concionem abeuntibus injunxit, ut quae ibi orationes habitae essent, eas ad se referrent. Morte Socratis haud mediocrem cepit [dolorem: atque adeo atratus postridie processit. Interrogatus quae vis esset rhetoricae, respondit, *de parvis magna, de*

"ποιεῖν." Ἑστιώμενος δέ ποτε παρὰ Νικοκρέοντι τῷ Κύπρου τυράννῳ, προτρεπομένων αὐτὸν τῶν παρόντων διαλεχθῆναι, ἔφη, "Οἷς μὲν ἐγὼ δεινός, οὐχ ὁ νῦν καιρός, "οἷς δὲ ὁ νῦν καιρός, οὐκ ἐγὼ δεινός." Σοφοκλέα δὲ τὸν τραγικὸν θεασάμενος ἑπόμενον ἐρωτικῶς παιδί, εἶπεν, "Οὐ "μόνον δεῖ, Σοφόκλεις, τὰς χεῖρας ἔχειν παρ' αὑτῷ, "ἀλλὰ καὶ τοὺς ὀφθαλμούς." Τοῦ δὲ Κυμαίου Ἐφόρου ἀπράκτου τῆς σχολῆς ἐξελθόντος, καὶ πάλιν ὑπὸ τοῦ πατρὸς Δημοφίλου πεμφθέντος ἐπὶ δευτέρῳ μισθῷ, παίζων Δίφρον αὐτὸν ἐκάλει, ἐσπούδασε μέντοι ἱκανῶς περὶ τὸν ἄνδρα καὶ τὴν ὑπόθεσιν τῆς χρείας αὐτὸς ὑπεθήκατο. Ἐγένετο δὲ καὶ πρὸς τὰ ἀφροδίσια καταφερής, ὡς ὑποπάστῳ παρειλκυσμένῳ ἐν τῇ κοίτῃ χρῆσθαι, κρόκῳ διαβεβρεγμένον ἔχοντα τὸ προσκεφάλαιον· καὶ νέον μὲν ὄντα μὴ γῆμαι, γηράσαντα δὲ ἑταίρᾳ συνεῖναι, ᾗ ὄνομα ἦν Λ

A. 6. Δίφρον] Δίφορον Amiot. Xyl. T. Schott. Anon. Mez. Vulgatum tamen noluì repudiare.

magnis parva facere. Conviva aliquando apud Nicocreontem Cypri tyrannum, cum ad differendum ab una accumbentibus invitaretur, respondit, *de iis rebus, in quibus valeo, nunc dicere non est tempestivum: de quibus autem dicere jam esset tempestivum, de iis nihil valeo eloqui.* Sophoclem tragœdiæ scriptorem vidéns amatorie puero cuidam comitari dixit, *Non manus modo te, O Sophocles, tecum continere, sed etiam oculos oportet.* Cum Ephorus Cumæus re infecta discederet e schola ipsius, denuoque a patre Demophilo mitteretur secundam mercedem adferens, joci gratia eum Diphorum, (hoc est *bis ferentem*) appellavit. Magnam tamen homini impendit operam, ita sane, ut etiam historiæ scribendæ argumentum ei subjecerit. Pronus porro fuit in venerem: quippe substrato prolixo utens in lecto, et cervical croco humectatum usurpans. Integra ætate non duxit uxorem, senex cum scorto consuevit, cui

Λαγίσκη, ἐξ ἧς ἔσχε θυγάτριον, ὃ γενόμενον ἐτῶν δώδεκα πρὸ γάμων ἐτελεύτησεν. Ἔπειτα Πλαθάνην τὴν Ἱππίου τοῦ ῥήτορος γυναῖκα ἠγάγετο, τρεῖς παῖδας ἔχουσαν, ὧν τὸν Ἀφαρέα, ὡς προείρηται, ἐποιήσατο, ὃς καὶ εἰκόνα αὐτοῦ χαλκῆν ἀνέθηκε πρὸς τῷ Ὀλυμπίῳ, ὡς ἐπὶ κίονος, καὶ ἐπέγραψεν,

Ἰσοκράτους Ἀφαρεὺς πατρὸς εἰκόνα τήνδ' ἀνέθηκε
Ζηνὶ θεούς τε σέβων καὶ γονέων ἀρετήν.

Λέγεται δὲ καὶ κερητίσαι, ἔτι παῖς ὤν· ἀνάκειται γὰρ ἐν ἀκροπόλει χαλκοῦς ἐν τῇ σφαιρίστρᾳ τῶν Ἀῤῥηφόρων κερητίζων ἔτι παῖς ὤν, ὡς εἶπόν τινες. Δύο δὲ ἐν ἅπαντι τῷ βίῳ συνέστησαν αὐτοῦ ἀγῶνες· πρότερος μὲν, εἰς ἀντίδοσιν προκαλεσαμένου αὐτὸν Μεγακλείδου, πρὸς ὃν οὐκ ἀπήντησε διὰ νόσον, τὸν δὲ υἱὸν πέμψας Ἀφαρέα ἐνίκησε· δεύτερος δὲ, Λυσιμάχου αὐτὸν προκαλεσαμένου

B. 6. Ὀλυμπίῳ, ὡς] Forte, Ὀλυμπιείῳ, deleto ὡς.
C. 1. κερητίσαι—κερητίζων] κελητίσαι—κελητίζων Amiot. Xyl. T. V. Anon. Mez. Wolf. Haud ſcio an rectius.
C. 3. Ἔτι παῖς ὤν, ὡς εἶπόν τινες] Forte delendum.

Lagiſcæ nomen fuit: ex eaque filiolam ſuſcepit, quæ anno ætatis ſuæ duodecimo ante nuptias diem obiit. Duxit poſtea Plathanam Hippiæ rhetoris uxorem, quæ tres habebat filios: quorum natu minimum Aphareum adoptavit, ſicut ante diximus: iſque ei imaginem æream ad Olympium in columna poſuit, tali ferme inſcriptione,

Iſocratis Aphareus patris hoc poſuit ſimulacbrum,
Divos, atque Jovem venerans, meritaſque parentis.

Fertur etiamnum puer equo celere certaviſſe: ac tali ſtatura celere equo vehens æreus in ſphæriſterio arcis quod Arrephororum dicitur (erant autem hi Minervæ ſacrificuli) dedicatus fuiſſe. Duæ omnem ei per vitam lites ſunt intentatæ: una, cum eum ad permutationem Megaclides provocaret, ad cujus diſceptationem morbo impeditus non comparuit, ſed miſſo filio Aphareo vicit: altera, cum eum ad munus ſumtuum in trire-

περὶ τριηραρχίας εἰς ἀντίδοσιν, ἡττηθεὶς δὲ τὴν τριηραρχίαν ὑπέστη. Ἦν δὲ αὐτοῦ καὶ γραπτὴ εἰκὼν ἐν τῷ Πομπείῳ. Ὁ δὲ Ἀφαρεὺς συνέγραψε μὲν λόγους, οὐ πολλοὺς δὲ, δικανικούς τε καὶ συμβουλευτικούς· ἐποίησε δὲ καὶ τραγῳδίας περὶ ἑπτὰ καὶ τριάκοντα, ὧν ἀντιλέγονται δύο· ἀρξάμενος δὲ ἀπὸ Λυσιστράτου διδάσκειν, ἄχρι Σωσιγένους, ἐν ἔτεσιν εἰκοσιοκτὼ διδασκαλίας Ἀστικὰς καθῆκεν ἕξ, καὶ δὶς ἐνίκησε διὰ Διονυσίου καθεὶς, καὶ δι' ἑτέρων ἑτέρας δύο Ληναϊκάς. Τῆς δὲ μητρὸς αὐτῶν Ἰσοκράτους καὶ Θεοδώρου, καὶ τῆς ταύτης ἀδελφῆς Ἀνακοῦς, εἰκόνες ἀνέκειντο ἐν ἀκροπόλει· ὧν ἡ τῆς μητρὸς παρὰ τὴν Ὑγίαν νῦν κεῖται μετεπιγεγραμμένη· ἡ δὲ Ἀνακοῦς οὐ σώζεται. Ἔσχε δὲ υἱοὺς Ἀλέξανδρον μὲν ἐκ Κοινοῦς, Οὐσικλέα δὲ ἐκ Λυσίου.

D. 6. Ἀνακοῦς] Bis reposui cum Amiot. Xyl. Mez. Wolf. Vulgo, Νακοῦς.
D. 8. Ἔσχε—Λυσίου] Forte aliunde invectum, aut pars priorum perditorum. Ceterum pro Οὐσικλέα rectius habent Σωσικλέα T. V. Xyl. verſ. Anon. Mez. Item legendum Κοίνου: ejus loco est lacuna in E.

mem pro republica faciendorum de bonorum permutatione postularet Lysimachus: tum quidem sumtus illos, quod cecidisset caussa, in se recepit. Sed et picta ejus fuit in Pompeio effigies. Scripsit etiam Aphareus orationes juridiciales et deliberativas: sed Tragœdias etiam ad septem et triginta scripsit: de quarum duabus est controversia. Orsus sub Lysistrato docere fabulas usque ad Sosigenem perrexit annos octo et viginti: ac sexies Urbanis Dionysiis fabulas suas in certamen dedit, unde duas retulit victorias actore Dionysio: duas ex Lenaicis Dionysiis reportavit victorias, actoribus aliis. Matris eorum, Isocratis, Theodori, et amitæ Anacus simulachra in arce fuerunt dedicata. Matris nunc juxta Salutis visitur, mutata inscriptione, Anacus intercidit. Filios habuit, Alexandrum e Cœnone, Sosiclem e Lysia.

έ.

ΙΣΑΙΟΣ.

σαῖος Χαλκιδεὺς μὲν ἦν τὸ γένος, παραγενόμενος
ς Ἀθήνας καὶ σχολάσας Λυσίᾳ, κατά τε τὴν τῶν
των ἁρμονίαν, καὶ τὴν ἐν τοῖς πράγμασι δεινό-
: ὥστ' εἰ μή τις ἔμπειρος πάνυ τοῦ χαρακτῆρος τῶν
ῶν εἴη, οὐκ ἂν διαγνοίη πολλοὺς τῶν λόγων ῥᾳδίως
έρου τῶν ῥητόρων εἰσίν. Ἤκμασε δὲ μετὰ τὸν Πε-
ννησιακὸν πόλεμον, ὡς ἔστι τεκμήρασθαι ἐκ λόγων
καὶ μέχρι τῆς Φιλίππου ἀρχῆς παρέτεινε. Καθη-
το δὲ Δημοσθένους, ἀποστὰς τῆς σχολῆς, ἐπὶ δραχ-
μυρίαις· διὸ καὶ μάλιστα ἐπιφανὴς ἐγένετο· αὐτὸς
καὶ τοὺς ἐπιτροπικοὺς λόγους συνέταττε τῷ Δημοσ-
ὥς τινες εἶπον. Καταλέλοιπε δὲ λόγους ἑξήκοντα
ρας, ὧν εἰσι γνήσιοι πεντήκοντα, καὶ ἰδίας Τέχνας.
τος δὲ καὶ σχηματίζειν ἤρξατο, καὶ τρέπειν ἐπὶ τὸ

V. 3. ἐπιτροπικοὺς] Sumſi ab E. P. Phot. Xyl. Vulgo, ἐπιτροπευτικούς.

V.

ISÆUS.

æus Chalcidenſis patria, ſe Athenas contuliſſet, e operam dedit, ab eoque idicit vocabulorum con- tionem, et in cauſſis ndis vim, ut qui non s ſit generum dicendi, uterque ſectatus pro ſe e multis orationibus ju- e facile non poſſit utrum nt auctorem. Floruit bellum Peloponneſiacum, t conjicere ex ipſius ora- tionibus: et uſque ad Philippi imperium duravit. Demoſthenem docuit a ſchola deductus, mercede drachmarum decem millium, qua re maxime claruit. Sunt qui eum dicant Demoſtheni orationes compoſuiſſe, quas habuit contra ſuos tutores. Reliquit orationes quatuor et ſexaginta, de quibus quinquaginta ſunt germanæ: ſed et Præcepta peculiaria artis oratoriæ. Primus etiam figuras adhibere cœpit, et ad res civiles animum ad-

πολιτικὸν τὴν διάνοιαν· ἃ μάλιστα μεμίμηται Δημοσθένης. Μνημονεύει δὲ αὐτοῦ Θεόπομπος ὁ κωμικὸς ἐν τῷ Θησεῖ.

ϛʹ.

ΑΙΣΧΙΝΗΣ.

Αἰσχίνης Ἀτρομήτου, φυγόντος μὲν ἐπὶ τῶν Τριάκοντα, συγκαταγαγόντος δὲ τὸν δῆμον, καὶ Γλαυκοθέας· τὸν δὲ δῆμον Κοθωκίδης, οὔτε κατὰ γένος τῶν ἐπιφανῶν, οὔτε κατὰ περιουσίαν χρημάτων, νέος δὲ ὢν ἐῤῥωμένος τῷ σώματι, περὶ τὰ γυμνάσια ἐπόνει· λαμπρόφωνος δὲ ὤν, μετὰ ταῦτα τραγῳδίαν ἤσκησεν· ὡς δὲ Δημοσθένης φησίν, ὑπογραμματεύων καὶ τριταγωνιστῶν Ἀριστοδήμῳ ἐν τοῖς Διονυσίοις διετέλει, ἀναλαμβάνων ἐπὶ σχολῆς τὰς παλαιὰς τραγῳδίας, καὶ ἔτι παῖς ὢν ἐδίδασκε γράμματα σὺν τῷ πατρί. Καὶ μειράκιον ὢν ἐστρατεύετο ἐν τοῖς πολλοῖς. Ἀκροατὴς δὲ γενόμενος,

A. 4. τὸν δὲ δῆμον Κοθωκίδης] Ald. Baſ. Xyl. P. τῶν δὲ δήμων, ſolemni varietate, de qua in Animadverſſ. dicetur. Ceterum Κωθωκίδης omnes, præter Xyl. quem ſecutus ſum.

B. 2. ἐν τοῖς πολλοῖς] Tib. Hemſterhuſius ad oram exempli ſui emendat, ἐν τοῖς περιπόλοις. Sane ita ipſe de ſe prodit Æſchin. Or. Falſ. Leg. p. 269. C. et Harpocrat. Voc. περίπολος.

jecit: quod maxime imitatus eſt Demoſthenes. Mentionem ejus facit Theopompus comœdiæ ſcriptor in Theſeo.

VI.

ÆSCHINES.

Æſchines Atrometi filius (ejus qui a Triginta tyrannis in exſilium pulſus, in reducendo Athenas populo interfuit) et Glaucotheæ: tribu Cothocides, neque natalibus fuit, neque opibus præſtans. Is adoleſcens robuſto corpore, gymnaſiis operam dedit: et ob vocis claritatem poſtea tragœdiis agendis, ſi Demoſtheni credimus, Ariſtodemo in Bacchanalibus inſervivit deſcribendo, tertiaſque partes agendo, repetens in ſchola veteres tragœdias. Puer etiamnum docuit literas cum patre, et adultus inter vulgares militavit. Cum vero audiviſſet

μὲν τινες λέγουσιν, Ἰσοκράτους καὶ Πλάτωνος, ὡς Καικίλιος, Λεωδάμαντος, καὶ πολιτευόμενος οὐκ ...νῶς ἐκ τῆς ἐναντίας μερίδος τοῖς περὶ Δημοσθένη, ...ρέσβευσεν ἄλλας τε πρεσβείας πολλὰς, καὶ πρὸς ...ιππον ὑπὲρ τῆς εἰρήνης· ἐφ᾽ ᾗ κατηγορηθεὶς ὑπὸ ...οσθένους, ἀνῃρημένου τοῦ Φωκέων ἔθνους, ἔτι δὲ ὡς ...εμον ἐξάψας, ἡνίκα πυλαγόρας ᾑρέθη, Ἀμφικτύοσι ...ς Ἀμφισσεῖς, καὶ τὸν λιμένα ἐργαζομένοις· ἐξ οὗ ...βη τοὺς Ἀμφικτύονας Φιλίππῳ προσφυγεῖν, τὸν ...πὸ τοῦ Αἰσχίνου συνεργούμενον ἐπιθέσθαι τοῖς πράγ...ι, καὶ τὴν Φωκίδα λαβεῖν· ἀλλὰ συνειπόντος αὐτῷ ...ύλου τοῦ Σπινθάρου, Προβαλλουσίου, δημαγωγοῦντος, ...κοντα ψήφοις ἀπέφυγεν. Εἰσὶ δ᾽ οἵ φασι, συγ...ψαι μὲν τοὺς ῥήτορας τοὺς λόγους, ἐμποδὼν δὲ γεν-

Λεωδάμαντος] Xyl. et alii laudati D. Ruhnkenio Hist. Crit. Or. p. 63, corrigunt Ἀλκιδάμαντος.

. καὶ τὸν λιμένα ἐργαζομένοις] Rectius Wolf. τοὺς τὸν λιμένα ἐργαζομένους.

Εὐβούλου — Προβαλλουσίου] Duo errores: alter in scriptura populi, quæ requirit Προβαλισίου: alter in re, est enim Eubulus hic diversus ab Spinthari F. Probalisio, Anaphlystius: vid. D. Ruhnk. Hist. Crit. Or. p. 65.

...atem et Platonem, ut ...am dicunt, ut Cæcilius, ...amantem, et in republica ...tus contrariam Demos...icæ partem non obscure ...ret; cum alias multas le...nes obivit, tum ad Phi...um, de pace. Ob eam, ...osthenes ei actionem in...it, Phocensium exitii caus...eum, bellique inflamma...n arguens: quo tempore ...mphictyonibus Pylagoras ...isceptator adversum Amphissenses delectus fuisset portum molientibus: unde factum fuerit, ut Amphictyones ad Philippum confugerint, isque ab Æschine adjutus, res aggressus gerere, Phocidem occupaverit. Verum Æschines patrocinio Eubuli usus, qui Spinthari filius tribu Probalinthius tum ad populum orabat, triginta suffragiis fuit absolutus. Sunt qui dicant fuisse quidem orationes ab oratoribus conscriptas, sed in-

ομβίαν τὴν περὶ Χαιρώνειαν, μηκέτι τὴν δίκην εἰσελθεῖν. Χρόνῳ δ' ὕστερον Φιλίππου μὲν τετελευτηκότος, Ἀλεξάνδρου δὲ διαβαίνοντος εἰς τὴν Ἀσίαν, ἐγράψατο Κτησιφῶντα παρανόμων ἐπὶ ταῖς Δημοσθένους τιμαῖς· οὐ μεταλαβὼν δὲ τὸ πέμπτον μέρος τῶν ψήφων, ἔφυγεν εἰς τὴν Ῥόδον, χιλίας δραχμὰς ὑπὲρ τῆς ἥττης οὐ βουληθεὶς καταθέσθαι. Οἱ δὲ ἀτιμίας αὐτῷ προστιμηθῆναι λέγουσιν οὐ θέλοντι ἐξελθεῖν τῆς πόλεως, καὶ ἐλθεῖν εἰς Ἔφεσον ὡς Ἀλέξανδρον. Τοῦ δὲ τελευτήσαντος ταραχῆς οὔσης, ἀπάρας εἰς τὴν Ῥόδον, ἐνταῦθα σχολὴν καταστησάμενος ἐδίδασκεν. Ἀνέγνω τε τοῖς Ῥοδίοις τὸν κατὰ Κτησιφῶντος λόγον, ἐπιδεικνύμενος· θαυμαζόντων δὲ πάντων εἰ ταῦτα εἰπὼν ἡττήθη, « Οὐκ « ἄν, » ἔφη, « ἐθαυμάζετε, Ῥόδιοι, εἰ πρὸς ταῦτα Δη« μοσθένους λέγοντος ἠκούσατε. » Σχολήν τε ἐκεῖ προσκατέλιπε, τὸ Ῥοδιακὸν διδασκαλεῖον κληθέν. Ἔπειτα πλεύσας εἰς Σάμον, καὶ διατρίβων ἐπὶ τῆς νήσου, ὀλίγον

terveniente Chæronensi clade, in judicium controversiam non esse deductam. Aliquanto post cum Alexander, patre mortuo, in Asiam trajecisset, Ctesiphontem Æschines contra leges commissi facinoris accusavit, quod is Demostheni honores decrevisset. Sed cum quintam suffragiorum partem pro se non obtinuisset, neque mille drachmas vellet, ubi cecidisset caussa, deponere, Rhodum in exsilium abiit. Alii infamia ulterius notatum aiunt, cum nollet urbe excedere: et venisse Ephesum ad Alexandrum. Quo mortuo cum turbæ fierent, Rhodum abiit, ibique scholam aperuit, atque docuit. Cum ostentandi gratia postquam Rhodiis suam in Ctesiphontem orationem recitavisset, universis admirantibus quod tali habita oratione succubuisset, dixit: *Non admiraremini, si contra hæc orantem Demosthenem audivissetis.* Ac Rhodi quidem scholam reliquit, qui ludus Rhodiacus dicitur. Navigavit deinde Samum, paululumque in

ὕστερον ἐτελεύτησεν. Ἐγένετο δὲ εὔφωνος, ὡς δῆλον ἔκ τε ὧν φησι Δημοσθένης, καὶ ἐκ τοῦ Δημοχάρους λόγου. Φέρονται δ' αὐτοῦ λόγοι τέσσαρες, ὅ, τε κατὰ Τιμάρχου, καὶ ὁ τῆς παραπρεσβείας, καὶ ὁ κατὰ Κτησιφῶντος, οἳ καὶ μόνοι εἰσὶ γνήσιοι. Ὁ γὰρ ἐπιγραφόμενος Δηλιακὸς, οὐκ ἔστιν Αἰσχίνου· ἀπεδείχθη μὲν γὰρ ἐπὶ τὴν κρίσιν τοῦ περὶ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ συσταθεὶς συνήγορος· οὐ μὴν εἶπε τὸν λόγον· ἐχειροτονήθη γὰρ Ὑπερείδης ἀντ' αὐτοῦ, ὥς φησι Δημοσθένης. Ἔσχε δὲ καὶ ἀδελφοὺς, ὥς φησιν αὐτὸς, Ἄφοβον καὶ Δημοχάρη. Ἀπήγγειλε δὲ καὶ τὴν ἐν Ταμύναις νίκην πρῶτος Ἀθηναίοις τὸ δεύτερον, ἐφ' ᾧ καὶ ἐστεφανώθη. Οἱ δὲ εἶπον, μηδὲ μαθητεῦσαι τισὶ τὸν Αἰσχίνην, ἀλλ' ἐκ τῆς ὑπογραμματείας ἀρθῆναι, ἐν τοῖς δικαστηρίοις τότε διάγοντα· πρῶτον δὲ εἰπεῖν ἐν τῷ δήμῳ κατὰ Φιλίππου, εὐδοκιμήσαντά τε,

F. 3. Δημοχάρη] Immo, Φιλόχαρη.
F. 3. Ἀπήγγειλε] Sic Bas. Xyl. P. Vulgo, ἀντήγγειλε quod Steph. fecit ex Aldino ἀντήγγειλε.
F. 4. τὸ δεύτερον] τὴν δευτέραν Amiot. Mez. At Wolf. delet.
F. 6. τισὶ] τινὶ, Mez.

ea commoratus insula, vitam cum morte commutavit. Vocalem fuisse et e verbis Demosthenis, et e Democharis oratione liquet. Quatuor ipsius feruntur orationes: quarum in Timarchum, de Male obita Legatione, contra Ctesiphontem, solæ sunt germanæ. Quæ enim Deliaca inscribitur, non est Æschinis: nam designatus quidem fuerat, ut caussam de templo in Delo oraret: sed fuit in locum ipsius delectus Hyperides, ut ait Demosthenes. Habuit etiam fratres Aphobum et Democharem, ut ipse ait. Primus etiam victoriam apud Tamynas partam denuo Atheniensibus annunciavit: qua de caussa etiam est coronatus. Quidam neminis fuisse discipulum Æschinem tradunt: sed cum in judiciis scribæ munere fungeretur, inde ad oratoriam elatum artem: primumque ipsum contra Philippum dixisse:

πρεσβευτὴν χειροτονηθῆναι πρὸς Ἀρκάδας· πρὸς δὲ ἀφικόμενον, συστῆσαι τοὺς μυρίους ἐπὶ Φίλιππον. Ἐγράψατο δὲ καὶ Τίμαρχον ἑταιρήσεως· ὁ δὲ, ἐκλιπὼν τὸν ἀγῶνα, αὑτὸν ἀνήρτησεν, ὥς που φησὶ Δημοσθένης. Ἐχειροτονήθη πρεσβευτὴς ὡς Φίλιππον κατὰ Κτησιφῶντος καὶ Δημοσθένους περὶ τῆς εἰρήνης· ἐν ᾗ ἄμεινον τοῦ Δημοσθένους ἠνέχθη· καὶ δεύτερον δέκατος ὤν, κυρώσας ὅρκοις τὴν εἰρήνην, κριθεὶς ἀπέφυγεν, ὡς προείρηται.

ζ.

ΛΥΚΟΥΡΓΟΣ.

Λυκοῦργος πατρὸς μὲν ἦν Λυκόφρονος τοῦ Λυκούργου (ὃν οἱ Τριάκοντα τύραννοι ἀπέκτειναν, αἰτίου αὐτῷ τῆς ἀναιρέσεως γενομένου Ἀριστοδήμου Βατῆθεν, ὃς καὶ ἑλληνοταμίας γενόμενος, ἔφυγεν ἐν τῇ δημοκρατίᾳ) τὸν δῆμον δὲ Βουτάδης, γένους τοῦ τῶν Ἐτεοβουταδῶν. Ἀκροατὴς δὲ γενόμενος Πλάτωνος τοῦ φιλοσόφου, τὰ πρῶτα

B. 3. τὸν δῆμον δὲ] Sic E. T. V. Anon. Vulgo, δῆμον δὲ τῶν: quod ex veteri, nec tamen vera lectione, ortum, τῶν δήμων δε.

et cum placuisset populo, ab eo legatum ad Arcades designatum, eo profectum eorum commune *decem millia* dictos adversus Philippum concitasse. Timarcho etiam scortationis dicam impegit: qui deserta caussæ dictione sese suspendit, ut alicubi Demosthenes inquit. Legatus ad Philippum de pace contra Ctesiphontem et Demosthenem, hoc priores tulit. Deinde cum novem aliis jurejurando pacem sanxit: et in jus vocatus, evasit: sicut diximus.

VII.

LYCURGUS.

Lycurgus Lycophronis filius, Lycurgi nepos ejus quem Triginta tyranni interfecerunt, caussam necis præbente Aristodemo Batensi: qui etiam Græcorum quæstor (hic est Hellanotamias) factus, exsulavit populo rempublicam gubernante. Populo Lycurgus fuit Butades, genere ortus Eteobutadarum. Initio philosophatus est, auditor Plato-

σόφιστεν· εἶτα καὶ Ἰσοκράτους τοῦ ῥήτορος γνώριμος
μενος, ἐπολιτεύσατο ἐπιφανῶς, καὶ λέγων καὶ πράτ-
καὶ δὴ πιστευσάμενος τὴν διοίκησιν τῶν χρημάτων·
ας γὰρ ἐγένετο ἐπὶ τρεῖς πενταετηρίδας ταλάντων
ιν τετρακισχιλίων, ἢ, ὥς τινες, μυρίων ὀκτακισχιλίων
οσίων πεντήκοντα (καὶ ὁ τὰς τιμὰς αὐτῷ ψηφίσα-
Στρατοκλῆς ὁ ῥήτωρ) τὸ μὲν πρῶτον αἱρεθεὶς
, ἔπειτα τῶν φίλων ἐπιγραψάμενός τινα, αὐτὸς
το τὴν διοίκησιν διὰ τὸ φθάσαι νόμον εἰσενεγκεῖν, μὴ
ν πέντε ἐτῶν διέπειν τὸν χειροτονηθέντα ἐπὶ τὰ δη-
χρήματα, ἀεί τε ἐφεστὼς τοῖς ἔργοις διετέλεσε, καὶ
ς καὶ χειμῶνος. Καὶ ἐπὶ τὴν τοῦ πολέμου παρασκευὴν
τονηθεὶς, πολλὰ τῆς πόλεως ἐπηνώρθωσε· καὶ τρι-
παρεσκεύασε τῷ δήμῳ τετρακοσίας· καὶ τὸ ἐν
ν γυμνάσιον ἐποίησε καὶ ἐφύτευσε, καὶ τὴν παλαίστραν

ὁ τὰς τιμὰς—ῥήτωρ] Uncis inclusi, ut perperam invectum e Psephismate, p. 852. Abest etiam in Phot.

ωιῳ] Rectius cum Mez. Λυκείῳ.

ilosophi. Postea disci- Isocratis oratoris factus, rempublicam orando oque gessit. Commissa am fuit pecuniæ administio: nam quæstor per quinquennia dispensavit orum millia quatuordeut, ut alii perhibent, taduodeviginti millia, sexa insuper et quinqua- (qui ei hunc honorem it Stratocles rhetor) ipimum ad hoc delectus, deinde amicorum aliquem præscribens ipse pecuniam administravit: fuerat enim lex lata, ne quis quæsturam eam quinque annis amplius curaret. Ceterum Lycurgus assiduus fuit in procuratione rerum conficiendarum æstate hyemeque, et ad apparatum bellicum suffragiis populi destinatus, multas urbis res correxit, populo triremes quadringenas confecit, gymnasium in Lyceo paravit ac plan-

ᾠκοδόμησε, καὶ τὸ ἐν Διονύσου θέατρον ἐπιστατῶν ἐπετέλεσε. Πιστευσάμενος δὲ ἐν παρακαταθήκῃ παρὰ τῶν ἰδιωτῶν διακόσια πεντήκοντα τάλαντα ἐφύλαξε, πομπεῖά τε χρυσᾶ καὶ ἀργυρᾶ τῇ πόλει κατεσκεύασε, καὶ νίκας χρυσᾶς. Πολλὰ δὲ ἡμίεργα παραλαβὼν ἐξετέλεσε καὶ νεωσοίκους, καὶ τὴν σκευοθήκην· καὶ τῷ σταδίῳ τῷ Παναθηναϊκῷ τὴν κρηπῖδα περιέθηκεν, ἐξεργασάμενος τοῦτό τε καὶ τὴν χαράδραν ὁμαλὴν ποιήσας, Δεινίου τινὸς, ὃς ἐκέκτητο τοῦτο τὸ χωρίον, ἀνέντος τῇ πόλει περὶ παντὸς αὐτοῦ χαρίσασθαι Λυκούργῳ. Εἶχε δὲ καὶ τοῦ ἄστεος τὴν φυλακὴν, καὶ τῶν κακούργων τὴν σύλληψιν, οὓς ἐξήλασεν ἅπαντας, ὡς καὶ τῶν σοφιστῶν ἐνίους λέγειν, Λυκοῦργον οὐ μέλανι ἀλλὰ θανάτῳ χρίοντα τὸν κάλαμον κατὰ τῶν πονηρῶν, οὕτω συγγράφειν. Ὅθεν ἐξαιτηθέντα αὐτὸν ὑπὸ Ἀλεξάνδρου τοῦ βασιλέως ὁ δῆμος οὐ προήκατο. Καθ' ὃν δὲ χρόνον ἐπολέμει Φίλιππος πρὸς Ἀθηναίους

E. 1. χαρίσασθαι] T. V. Anon. χαρισαμένου: malim tamen, τῇ πόλει, προσθέντος, αὐτὸ χαρίσασθαι Λυκούργῳ: ut fere Reisk.
E. 4. θανάτῳ] αἵματι corrigit Mez.

tavit, palæstram edificavit: et præfectus ædificando theatro Bacchi, opus absolvit. Idem depositum privatorum civium, talenta ducenta et quinquaginta, custodivit. Urbi, pomparum vasa aurea et argentea, victoriasque aureas adornavit: multa etiam imperfecta absolvit, et navalia, et armamentarium: stadio Panathenaico crepidinem circumposuit, et convallem complanavit, Dinia quodam, cujus ille locus erat, Lycurgo concedente potestatem ex ipsius bonis civitatem demerendi. Urbis etiam custodia ei mandata fuit, et maleficorum comprehensio: quos quidem omnes expulit; adeo ut sophistarum quidam dicerent, *Lycurgum ita contra malos scribere, ut qui calamum non atramento sed morte imbueret.* Itaque cum ab Alexandro postularetur, populus eum non dedidit. Quo tempore Philippus secundum contra

ύτερον πόλεμον, ἐπρέσβευε μετὰ Πολυεύκτου καὶ αθένους, εἴς τε Πελοπόννησον καί τινας ἑτέρας πό- διετέλεσέ τε τὸν ἅπαντα χρόνον εὐδαιμονῶν παρὰ Ἀθηναίοις, καὶ δίκαιος εἶναι νομιζόμενος, ὥστε καὶ ἐν καστηρίοις τὸ φῆσαι Λυκοῦργον, ἐδόκει βοήθημα εἶναι ναγορευομένῳ. Εἰσήνεγκε δὲ καὶ νόμους, τὸν περὶ ῳδῶν ἀγῶνα τοῖς Χύτροις ἐπιτελεῖν ἐφάμιλλον ἐν άτρῳ, καὶ τὸν νικήσαντα εἰς ἄστυ καταλέγεσθαι, πρό- οὐκ ἐξὸν, ἀναλαμβάνειν τὸν ἀγῶνα ἐκλελοιπότα. ὲ, ὡς χαλκᾶς εἰκόνας ἀναθεῖναι τῶν ποιητῶν, Αἰσ- , Σοφοκλέους, Εὐριπίδου, καὶ τὰς τραγῳδίας αὐτῶν ινῷ γραψαμένους φυλάττειν, καὶ τὸν τῆς πόλεως γραμ- α παραναγινώσκειν τοῖς ὑποκρινομένοις· οὐκ ἐξ- ρ αὐτὰς ὑποκρίνεσθαι. Καὶ τρίτον, μηδενὶ ἐξεῖναι αίων, μηδὲ τῶν οἰκούντων Ἀθήνησιν, ἐλεύθερον σῶμα σθαι ἐπὶ δουλείᾳ ἐκ τῶν ἁλισκομένων, ἄνευ τοῦ τοῦ

ταλέγεσθαι] καθεῖναι corrigit H. Valeſ. ad Harpocrat. p. 116. ita enim voluit ſcribere, non κατεῖναι ut editur.

κ ἐξεῖναι γὰρ αὐτὰς] Forte, καὶ οὐκ ἐξεῖναι παρ' αὐτάς—.

λεύθερον] Mez. ἀπελεύθερον.

ienſes bellum geſſit, le- ipſe cum Polyeucto et ſthene in Peloponneſum um alias urbes profectus Omni tempore in magna pud Athenienſes exiſti- ne, et juſtitiæ opinione: e, ut in judiciis dicta magnam patrocinii vim ent. Legum quoque r fuit: Quarum una eſt, *ædis ut ii Chytris certa- beatricó æmulum perage- victorque in Aſtu recipe- retur*: quod ante non licebat: eo pacto certamen jam obſo- leſcens renovavit. Alia, *ut æ- reæ imagines ponerentur poëtis Æſchylo, Sophocli, Euripidi: eorumque tragœdiæ exſcriptæ publice adſervarentur, eaſque ſcriba civitatis recitaret loco biſtrionum, quibus ſuo arbi- tratu eas agere non liceret.* Tertia: *non licere cuiquam Athenienſi aut Athenis habi- tanti liberum corpus captum in ſervitutem vendere ſine pri-*

ποτὲ οὐκ ἀνεχομένων αὐτοῦ δημηγοροῦντος, ἀνέκραγεν ἐκβαλλόμενος, "Ὦ Κερκυραία μάστιξ, ὡς πολλῶν ταλάντων εἶ ἀξία." Πάλιν δὲ θεὸν ἀναγορευόντων Ἀλέξανδρον, "Καὶ ποδαπὸς ἄν," εἶπεν, "ὁ θεὸς, οὗ τὸ ἱερὸν ἐξιόντας δεήσει περιρραίνεσθαι;" Ἀποθανόντος δὲ αὐτοῦ, παρέδωκαν τοὺς παῖδας τοῖς Ἕνδεκα, Μενεσαίχμου μὲν κατηγορήσαντος, γραψαμένου δὲ Θρασυκλέους· Δημοσθένους δὲ, καθ' ὃν ἔφυγε χρόνον, ἐπιστείλαντος τοῖς Ἀθηναίοις, ὡς κακῶς ἀκούοιεν ἐπὶ τοῖς Λυκούργου παιδίοις, μετενόησαν, καὶ ἀφῆκαν αὐτοὺς, Δημοκλέους τοῦ Θεοφράστου μαθητοῦ ὑπὲρ αὐτῶν ἀπολογησαμένου. Ἐτάφη δὲ αὐτὸς καὶ τῶν ἐκγόνων τινὲς δημοσίᾳ· καὶ ἔστιν αὐτῶν τὰ μνήματα ἄντικρυς τῆς Παιωνίας Ἀθηνᾶς ἐν τῷ Μελανθίου τοῦ φιλοσόφου κήπῳ, τράπεζαι πεποιημέναι, αὗταί τε τοῦ Λυκούργου καὶ τῶν παίδων αὐτοῦ ἐπιγεγραμμέναι, καὶ εἰς ἡμᾶς ἔτι σωζόμεναι. Τὸ μέ-

D. 9. Μενεσαίχμου] Μοιροκλέους corrigit D. Ruhnkenius Hist. Crit. Or. Gr. p. 80.
E. 9. αὗταί τε] Legendum, αὐτοῦ τε, cum Mez. et Reisk.
E. 10. Τὸ μέγιστον—προσιόντων] Hoc et numeris vitiosum, et perperam e superioribus repetitum.

non ferrent, exturbarentque, exclamavit, *O Corcyræa scutica, quam multorum talentorum æquas pretium!* Rursus iis Alexandrum in deos referentibus, *Qualis vero*, aiebat, *iste sit deus, cujus e templo exeuntes opus habeant aqua se lustrali conspergere!* Mortui Lycurgi filii Undecimviris traditi sunt, Menesæchmo accusante, dica a Thrasycle scripta: sed cum Demosthenes tum exsulans scripsisset Atheniensibus, male ipsos audire propter liberos Lycurgi, mutata sententia eos absolverunt, Democle Theophrasti discipulo eos defendente. Publice sepultus est Lycurgus, et quidam ex ejus posteris: suntque eorum monumenta e regione Minervæ Pæoniæ in horto Melanthii philosophi, mensæ factæ, et Lycurgo liberisque ejus inscriptæ, quæ

[illegible] χίλια διακόσια τάλαντα προσόδου τῇ πόλει κατέστησε, πρότερον ἑξήκοντα προσιόντων. Μέλλων δὲ τελευτήσειν, εἰς τὸ μητρῷον καὶ τὸ βουλευτήριον ἐκέλευσεν αὐτὸν κομισθῆναι, βουλόμενος εὐθύνας δοῦναι τῶν πεπολιτευμένων· οὐδενὸς δὲ κατηγορῆσαι τολμήσαντος πλὴν Μενεσαίχμου, τὰς διαβολὰς ἀπολυσάμενος, εἰς τὴν οἰκίαν ἀπεκομίσθη καὶ ἐτελεύτησεν, ἐπιεικὴς νομισθεὶς παρὰ πάντα τὸν βίον χρόνον, καὶ ἐν λόγοις ἐπαινεθείς· καὶ μηδένα ἀγῶνα ἁλούς, καίτοι πολλῶν κατηγορησάντων. Ἔσχε δὲ τρεῖς παῖδας ἐκ Καλλιστοῦς τῆς Ἅβρωνος μὲν θυγατρὸς, Καλαιοῦ δὲ τοῦ Ἅβρωνος Βατῆθεν ἀδελφῆς, τοῦ ταμιεύσαντος στρατιωτικῶν ἐπὶ Χαρώνδου ἄρχοντος· περὶ δὲ τῆς κηδείας ταύτης λέγει ὁ Δείναρχος ἐν τῷ κατὰ Πασίου. Κατέλιπε δὲ παῖδας Ἅβρωνα, Λυκοῦργον, Λυκόφρονα· ὧν ὁ Ἅβρων καὶ ὁ Λυκοῦργος

F. 11. Καλαιοῦ] Salmas. corrigit Καλλίου.

F. 12. Χαρώνδου] Forte, Χαιρώνδου.

A. 2. Πασίου] Πιστίου recte corrigunt Meurs. Lect. Att. III, 5. Vales. Harpocrat. p. 15.

hodieque extant. Id maximum est, quod reditus urbis, qui prius erant sexaginta talenta, ad mille et ducenta talenta auxit. Moriturus, in Metroum et curiam se jussit portari, rationem volens reddere administratæ reipublicæ: nemine autem extra unum Menesæchmum accusare auso, reportatus domum est dilutis calumniis, supremumque vitæ diem morte confecit. Toto vitæ tempore probus est habitus, orationesque ejus laudatæ, et quanquam a multis accusatus, nunquam caussa cecidit. Tres habuit liberos e Callistone Abronis filia, et Calæi Abronis, populo Batensis, sorore, ejus qui Chæronda archonte quæstor bellicam pecuniam tractavit: de hac adfinitate loquitur Dinarchus in oratione contra Passtium. Filios reliquit Abronem, Lycurgum, Lycophronem: de his Abron et Ly-

τῶν πεπλευτικότα περὶ τοὺς νόμους· καὶ θανάτου ὄντος ἐπιτιμίου, ἀλῶναι ἐποίησε, καὶ πεντήκοντα δραχμὰς ἐκ τῆς οὐσίας αὐτοῦ ἑκάστῳ τῶν πολιτῶν διένειμε, τῶν πάντων συναχθέντων ταλάντων ἑκατὸν ἑξήκοντα, ἤ, ὥς τινες, μνᾶν· Ὁ δὲ εὐθύνας Ἀριστογείτονα καὶ Κλεοκράτην καὶ Αὐτόλυκον δειλίας. Ἐπεκαλεῖτο δὲ ὁ Λυκοῦργος, Ἶβις Λυκούργῳ, Ξενοφῶντι νυκτερίς. Κατῆγον δὲ τὸ γένος ἀπὸ τούτων, καὶ Ἐρεχθέως τοῦ Γῆς καὶ Ἡφαίστου· τὰ δ' ἐγγυτάτω ἀπὸ Λυκομήδους καὶ Λυκούργου, οὓς ὁ δῆμος ταφαῖς ἐτίμησε δημοσίᾳ· καὶ ἔστιν αὕτη ἡ καταγωγὴ τοῦ γένους τῶν ἱερασαμένων τοῦ Ποσειδῶνος, ἐν πίνακι τελείῳ, ὃς ἀνάκειται ἐν Ἐρεχθείῳ, γεγραμμένος ὑπὸ Ἰσμηνίου τοῦ Χαλκιδέως· καὶ εἰκόνες ξύλινοι τοῦ τε Λυκούργου, καὶ τῶν

D. 10. ἤ, ὥς τινες, μνᾶν] Positum fuisse videtur ab auctore proxime post διένειμε.

E. 1. Ὁ δὲ εὐθύνας—δειλίας] Legendum, Λεωκράτην—δειλίας monuit Taylor. ad Lycurg. Or. præfat. fin. et ante eum Valesf. ad Harpocrat. p. 103. Vellem iidem duumviri correxissent vitiosum illud ὁ δὲ εὐθύνας.

E. 2. Ἐπεκαλεῖτο—νυκτερίς] Ἶβις Λυκούργῳ· Χαιρεφῶντι νυκτερίς: versus est Aristoph. Avib. 1296. itaque hic corrigendum; Ἐπεκαλεῖτο δὲ ὁ Λυκοῦργος Ἶβις, ὥς φησιν Ἀριστοφάνης· Ἶβις Λυκούργῳ· Χαιρεφῶντι νυκτερίς. Atque ita fere corrigit Kusterus: nec multum diverse Taylor. præfat. ad Lycurg.

E. 8. ἐν Ἐρεχθείῳ] ἐν addidi ex E. et Xyl.

paraverat, fecitque ut morte damnatus puniretur, ac quinquaginta drachmas ex opibus ejus cuivis civium dedit: summa donationis centum et sexaginta talenta æquante: alii minam viritim datam asserunt. In jus pertraxit Aristogitonem, Leocratem, et Autolyco controversiam movit status liberi * Cognominabatur autem Lycurgus Ibis, ut Chærephon noctua. Genus autem ab his deduxerunt, et Erechtheo, qui fuit Terræ et Vulcani filius, proxime autem a Lycomede et Lycurgo: quos populus publica sepultura honoravit. Est eorum generis successio, consecratorum Neptuno, in tabula perfecta, quæ dedicata est in sacrario Erechthei, picta ab Ismenia Chalcidense: et imagines Lycurgi, ejusque filio-

αὐτῷ, Ἄβρωνος, Λυκούργου, Λυκόφρονος, ἃς εἰργάσαντο Τίμαρχος καὶ Κηφισόδοτος οἱ Πραξιτέλους υἱεῖς· ... πίνακα ἀνέθηκεν Ἄβρων ὁ παῖς αὐτοῦ, λαχὼν ἐκ ... ένους τὴν ἱερωσύνην, καὶ παραχωρήσας τῷ ἀδελφῷ ... φρονι· καὶ διὰ τοῦτο πεποίηται ὁ Ἄβρων παραδιδοὺς ... τὴν τρίαιναν. Πάντων δὲ ὧν διῴκησεν ἀναγραφὴν ... άμενος, ἀνέθηκεν ἐν στήλῃ, πρὸ τῆς ὑπ' αὐτοῦ ... σκευασθείσης παλαίστρας, σκοπεῖν τοῖς βουλομένοις· ... ς μέντοι ἐδυνήθη ἐλέγξαι τὸν ἄνδρα νοσφισμοῦ. ... γραψε δὲ καὶ Νεοπτόλεμον Ἀντικλέους στεφανῶσαι, καὶ ... ἀναθεῖναι, ὅτι ἐπηγγείλατο χρυσώσειν τὸν βωμὸν ... Ἀπόλλωνος ἐν ἀγορᾷ, κατὰ τὴν μαντείαν τοῦ θεοῦ. ... φίσατο δὲ καὶ Διοτίμου Διοπείθους Εὐωνυμεῖ τιμὰς ... Κτησικλέους ἄρχοντος.

ή.

ΔΗΜΟΣΘΕΝΗΣ.

...ημοσθένης Δημοσθένους καὶ Κλεοβούλης τῆς Γύλωνος

...ς Γύλωνος θυγατρός] Ita Xyl. Mez. et in hoc libello editionibus De-

... Abronis, Lycurgi, et ...phronis, quas fecerunt ...rchus et Cephiſodotus ...raxitelis. Tabulam de...it Abron filius ejus, qui ...um jure adeptus ſacerdo... id fratri Lycophroni ...ſſit, ideoque pictus eſt ...ridentem traderet. Ce... Lycurgus deſcriptio... omnium abs ſe geſtarum ... fecit, et in columna ...dit ante palæſtram a ſe ...n, ut qui vellent, inſpi... poſſent: nemo tamen vi...rum arguere peculatus potuit. Retulit etiam de Neoptolemo Anticlis filio coronando, eique ſtatua dedicanda, quod promiſerat ſe aram Apollinis in foro obducturum auro, ut dei oraculum jubebat. Decrevit etiam Diotimo Diopithis filio Euonymenſi honores, archonte Cteſicle.

VIII.

DEMOSTHENES.

Demoſthenes Demoſthenis filius e Cleobula uxore Gylonis filia, curia Pæanienſis, a

θυγατρὸς, τὸν δὲ δῆμον Παιανιεὺς, καταλειφθεὶς ὑπὸ τοῦ πατρὸς ἐτῶν ἑπτὰ, μετ' ἀδελφῆς πενταετίδος, τὸν μὲν τῆς ὀρφανίας χρόνον παρὰ τῇ μητρὶ διῆγε σχολάζων Ἰσοκρά- B
τει, ὥς τινες ἔφασαν, ὡς δὲ οἱ πλεῖστοι, Ἰσαίῳ τῷ Χαλκιδεῖ, ὃς ἦν Ἰσοκράτους μαθητὴς, διατρίβοντι ἐν Ἀθήναις, ζηλῶν Θουκυδίδην καὶ Πλάτωνα τὸν φιλόσοφον, ᾧ τινες εἶπον προηγουμένως αὐτῷ σχολάσαι. Ὡς δὲ Ἡγησίας ὁ Μάγνης φησὶν, ἐδεήθη τοῦ παιδαγωγοῦ, ἵνα Καλλιστράτου, Ἐμπαίδου, Ἀφιδναίου, ῥήτορος δοκίμου καὶ ἱππαρχήσαντος καὶ ἀναθέντος τὸν βωμὸν τῷ Ἑρμῇ τῷ ἀγοραίῳ, μέλλοντος ἐν τῷ δήμῳ λέγειν, ἀκούσῃ· ἀκούσας δὲ, ἐραστὴς ἐγένετο τῶν λόγων· καὶ τούτου μὲν ἐπ' ὀλίγον ἤκουσεν ἕως ἐπεδήμει· ἐπειδὴ δὲ ὁ μὲν ἔφυγεν εἰς Θρά- C

mosthenis præfixo, Wolf. et Lambin. Vulgo, τῆς γυναικὸς τῆς θυγατρός: Græco-Lat. 1624. assumta correctione, retento tamen vitio, τῆς γυναικὸς τῆς τοῦ Γυλῶνος θυγατρός.

B. 4. ὅν τινες—αὐτῷ] Rectius Mez, Wolf. Lambin. ᾧ τινὲς—αὐτόν.

B. 5. Ἡγησίας] Δημήτριος scribere debebat auctor. Vid. D. Ruhnkenium ad Rut. Lup. p. 27.

B. 7. Ἐμπαίδου] Immo Καλλικράτους. Nam alius fuit Callistratus Empedi F. Vid. H. Vales. ad Ammian. Marc. xxx. p. 402. et D. Ruhnken. Hist. Crit. Or. p. 60.

B. 7. καὶ ἱππαρχήσαντος] Eadem de caussa delendum, quippe ad Empedi filium, non ad Oratorem, pertinens.

patre fuit relictus pupillus annos natus septem, cum sorore annorum quinque. Orbitatis tempore apud matrem vivens, operam dedit Isocrati: ita enim quidam sentiunt: plures aiunt Isæi Chalcidensis auditorem fuisse, tunc Athenis degentis. Alii Thucydidis et Platonis fuisse studiosum narrant: atque huic quidem eum præcipue vacasse perhibent. Hegesias Magnes scribit, precibus eum a pædagogo impetrasse, ut sibi liceret audire Callistratum Empædi filium, Aphidnæum, oratorem nobilem, et qui aliquando equitum magister fuisset, ac Mercurio forensi aram dedicasset, verba tum ad populum facturum. Quem ubi audivit, amore dicendi captus, ei se quamdiu Athenis ille fuit, discipulum præbuit. Sed Callistrato in Thraciam profugo,

κὴν, ὁ δ' ἐγεγόνει ἐξ ἐφήβων, τηνικαῦτα παρέβαλλεν Ἰσοκράτει καὶ Πλάτωνι, εἶτα καὶ Ἰσαῖον ἀναλαβὼν εἰς τὴν οἰκίαν τετραετῆ χρόνον αὐτὸν διεπόνησε, μιμούμενος αὐτοῦ τοὺς λόγους. Ὡς δὲ Κτησίβιός φησιν ἐν τῷ περὶ φιλοσοφίας, διὰ Καλλίου τοῦ Συρακουσίου πορίσας τοῦ Ζήθου τοῦ Ἀμφιπολίτου λόγους, διὰ δὲ Χαρικλέους τοῦ Καρυστίου τοὺς Ἀλκιδάμαντος, ἀνέλαβεν αὐτούς. Τελειωθεὶς δὲ, ἔλαττον παρὰ τῶν ἐπιτρόπων παραλαβὼν, ἔκρινεν αὐτοὺς ἐπιτροπῆς ἐπὶ Τιμοκράτους ἄρχοντος, τρεῖς ὄντας, Ἄφοβον, Θηριππίδην, Δημοφῶντα ἢ Δημέαν· καὶ μάλιστα τούτου κατηγόρησεν, ἀδελφοῦ τῆς μητρὸς ὄντος,
D δέκα τάλαντα τίμημα ἑκάστῃ τῶν δικῶν ἐπιγραψάμενος· καὶ εἷλεν αὐτούς· τῆς δὲ καταδίκης οὐδὲν ἐπράξατο, τοὺς μὲν ἀργυρίου, τοὺς δὲ καὶ χάριτος. Ἀριστοφῶντος δὲ ἤδη τὴν ἐργασίαν διὰ γῆρας καταλιπόντος, καὶ χορηγὸς ἐγένετο.

C. 4. αὐτὸν] Sic recte Xyl. Lambin. Wolf. Vulgo, αὐτῶν.
C. 6. πορίσας τοῦ] Rectius fuerat πορισάμενος τούς: hoc Mez. illud Lambin. notavit.
D. 3. χάριτος] ἀφεὶς addit Wolf. ἀφιέναι πεισθεὶς addendum notavit in margine Lambin.

tum ex ephebis egressus Isocrati se atque Platoni adjunxit. Postea Isæum domum suam recepit, ac per annos quatuor elaboravit in ejus orationibus imitandis. Ctesibius in libro de philosophia perhibet, eum Calliæ Syracusani opera Zethi Amphipolitæ, per Chariclem Alcidamantis Carystii orationes nactum, in iis sese exercuisse. Virilem ætatem adeptus, tutores suos, quod ab iis minus æquo accepisset, male administratæ tutelæ accusavit, Timocrate archonte: erant autem tres, Aphobus, Theripides, et Demophon sive Demeas: atque hunc avunculum suum, magis quam alios: et unamquamvis actionem decem talentis æstimavit: cum autem reos peregisset, multam non exegit: alios pecunia, alios etiam gratia * Aristophonte autem jam ob senectutem præfecturam deferente, etiam choragus factus est.

Μειδίαν δὲ τὸν Ἀναγυράσιον πλήξαντα αὐτὸν ἐν τῷ θεάτρῳ χορηγοῦντα, εἰς κρίσιν καταστήσας, λαβὼν τρισχιλίας ἀφῆκε τῆς δίκης. Λέγουσι δὲ αὐτὸν ἔτι νέον ὄντα, εἰς σπήλαιον ἀπιέναι, κἀκεῖ φιλολογεῖν τὸ ἥμισυ τῆς κεφαλῆς ξυράμενον, ἵνα μὴ προέρχοιτο· καὶ ἐπὶ στενῆς κλίνης χαμαιεύειν, ἵνα διὰ ταχέων ἀνίστηται· τό τε ῥῶ μὴ δυνάμενον λέγειν ἐκπονῆσαι· καὶ τὸν ὦμον ἐν τῷ μελετᾷν κινοῦντα ἀπρε- I πῶς καταπαῦσαι, προσαρτήσαντα ὀβελίσκον, ἤ, ὥς τινες, ξιφίδιον ἐκ τῆς ὀροφῆς, ἵνα φοβούμενος ἠρεμοίη· προβαίνοντα δὴ κατὰ τὴν τῶν λόγων ἰσχὺν, ἔσοπτρον ἰσομέγεθες αὐτῷ κατασκευάσαι, καὶ πρὸς τοῦτο ἀφορῶντα μελετᾷν, ἵνα ἐπανορθώσηται τὰ ἐλλείποντα· καὶ κατιόντα ἐπὶ τὸ Φαληρικὸν, πρὸς τὰς τῶν κυμάτων ἐμβολὰς τὰς σκέψεις ποιεῖσθαι, ἵν' εἴποτε θορυβοίη ὁ δῆμος, μὴ ἐκ- f σταίη· τοῦ δὲ πνεύματος αὐτῷ ἐνδέοντος, Νεοπτολέμῳ τῷ ὑποκριτῇ μυρίας δοῦναι, ἵνα ὅλας περιόδους ἀπ-

Midiam Anagyrasium qui ipsum in theatro chorum instruentem percusserat, in judicium pertraxit: sed acceptis tribus drachmarum millibus missum fecit. Ferunt, Demosthenem etiamnum adolescentem in antrum ivisse, ibique meditatum orationes fuisse, rasa dimidia capitis parte, ne exiret: inque angusta cubuisse sponda, ut cito expergisceretur: cumque literam R non posset pronunciare, labore consecutum ut proferret: cumque inter declamandum movere soleret humerum inconvenienter, id desuevisse, suspenso e culmine veru, aut, quod alii dicunt, gladio, ut ejus metu se contineret: cum jam auctus esset vi dicendi, speculum fecisse sibi æquale, inque id inspicientem se exercuisse, ut corrigeret vitia: descendisse etiam ad Phalericum litus, et adversus undas obstrepentes declamasse, ut si quando populus obturbaret, hoc sibi non esset terrori: cumque eum spiritus deficeret, Neoptolemi histrionis opera decem drachmarum millibus conducta didicisse uno spiritu integras cir-

νεύστως λέγῃ. Ἐπεὶ δὲ τῷ πολιτεύεσθαι προσῆλθεν, ὡς δύο διῃρημένων τῶν ἐν τῇ πόλει, καὶ τῶν μὲν φιλιππιζόντων, τῶν δὲ ὑπὲρ τῆς ἐλευθερίας δημηγορούντων, τὴν τῶν ἀντιπολιτευομένων Φιλίππῳ τάξιν εἵλετο· καὶ πάντος τοῦ χρόνου διετέλεσε συμβουλεύων τοῖς κινδυνεύουσιν ὑπὸ Φιλίππῳ γενέσθαι βοηθεῖν, συμπολιτευόμενος
45 Ὑπερείδῃ, Ναυσικλεῖ, Πολυεύκτῳ, Διοτίμῳ· διὸ καὶ συμμάχους τοῖς Ἀθηναίοις ἐποίησε Θηβαίους, Εὐβοεῖς, Κερκυραίους, Κορινθίους, Βοιωτούς, καὶ πολλοὺς ἄλλους πρὸς τούτοις. Ἐκπεσὼν δέ ποτε ἐπὶ τῆς ἐκκλησίας καὶ ἀθυμῶν, ἐβάδιζεν οἴκοι· συντυχὼν δὲ αὐτῷ Εὔνομος ὁ Θριάσιος πρεσβύτης ἤδη ὤν, προετρέψατο τὸν Δημοσθένην· μάλιστα δὲ ὑποκριτὴς Ἀνδρόνικος, εἰπὼν ὡς οἱ μὲν λόγοι καλῶς ἔχοιεν, λείποι δὲ αὐτῷ τὰ τῆς ὑποκρίσεως· ἀπεμνημόνευσέ τε τῶν ἐπὶ τῇ ἐκκλησίᾳ ὑπ' αὐτοῦ λελεγμένων· καὶ δὴ πιστεύσαντα τὸν

A. 9. ἐπὶ τῇ ἐκκλησίᾳ ὑπ' αὐτοῦ] Sic E. Lambin. Wolf. Vulgo, ὑπὸ τῇ ἐκκλησίᾳ αὐτοῦ.

cuitiones efferre. Poſtquam ſe ad rempublicam contulit, diviſo in duas factiones populo, quarum altera Philippo faveret, altera pro libertate concionabatur, Philippo adverſantibus ſe addidit, omnique tempore civibus ſuaſit ut iis auxilium ferrent, quos a Philippo oppreſſum iri periculum erat: ſociosque ſui inſtituti habuit Hyperidem, Nauſiclem, Polyeuctum, Diotimum. Ideoque etiam Athenienſibus fœdere junxit Thebanos, Euboenſes, Corcyrenſes, Corinthios, Bœotos, multoſque alios. Quodam tempore, cum ejectus e concione, mœſtus domum abiret, Eunomus ei Thriaſius occurrit jam ſenex, atque cohortatus eſt. Maxime autem confirmatus eſt ab Andronico hiſtrione, eique operam dedit, edoctus ab eo *orationes ſuas bene habere*,

Δημοσθένη παραδοῦναι αὐτὸν τῷ Ἀνδρονίκῳ. Ὅθεν ἐρομένου αὐτόν τι πρῶτον ἐν ῥητορικῇ, εἶπεν, Ὑπόκρισις· καὶ τί δεύτερον, Ὑπόκρισις· καὶ τί τρίτον, Ὑπόκρισις. Παρελθὼν δὲ πάλιν εἰς τὰς ἐκκλησίας, νεωτερικῶς τινα λέγων, διεσύρετο· ὡς κωμῳδηθῆναι αὐτὸν ὑπὸ Ἀντιφάνους, καὶ Τιμοκλέους·

Μὰ γῆν, μὰ κρήνας, μὰ ποταμούς, μὰ νάματα·

ὀμόσας δὲ τοῦτον τὸν τρόπον ἐν τῷ δήμῳ, θόρυβον ἐκίνησεν. Ὤμνυε δὲ καὶ τὸν Ἀσκληπιόν, προπαροξύνων Ἀσκλήπιον· καὶ παρεδείκνυεν αὐτὸν ὀρθῶς λέγοντα· εἶναι γὰρ τὸν θεὸν ἤπιον· καὶ ἐπὶ τούτῳ πολλάκις ἐθορυβήθη. Σχολάσας δὲ Εὐβουλίδῃ τῷ διαλεκτικῷ Μιλησίῳ, ἐπηνωρθώσατο πάντα. Γενόμενος δὲ καὶ ἐν τῇ Ὀλυμπιακῇ πανηγύρει, καὶ ἀκούσας Λαμάχου τοῦ Τερειναίου, Φιλίππου καὶ Ἀλεξάνδρου ἐγκώμιον ἀναγινώσκοντος, Θηβαίων δὲ καὶ Ὀλυνθίων κατατρέχοντος,

B. 2. αὐτὸν τί] Mez. αὐτόν τινος τί.

sed actionem iis deesse. Itaque interrogatus quid primum, quid secundum, quid tertium in arte esset oratoria, subinde respondit, *Actio.* Rursus in conciones progressus, cum nove quædam diceret, exagitatus est, ut etiam comici Antiphanes et Timocles cum vexaverint:

Vos juro, terra, fontes, flumina, latices:

nam cum hoc modo apud populum jurasset, tumultu est exceptus. Quin et Asclepium (is Æsculapius Latinis est) juravit, acuta syllaba SCIL. docuitque se hoc recte facere; esse enim deum *epium* sive mitem. Quo nomine sæpe ei obturbatum est. Sed omnia ista emendavit, cum vacasset Eubulidæ dialectico Milesio. Cum venisset in solennem conventum apud Olympiam, audivissetque Lamachum Terinæum recitantem Philippi Alexandrique laudationem, Thebanosque et Olynthios perstringentem, contra ad di-

ςὰς ἀρχαίαν ποιητῶν μαρτυρίας προενέγκατο ὧν Θηβαίοις καὶ Ὀλυνθίοις καλῶς πραχθέντων, ύσασθαί τε τολοιπὸν τὸν Λάμαχον, καὶ φυγεῖν ἐκ ινηγύρεως. Φίλιππον δὲ πρὸς τοὺς ἀναφέροντας ὺς κατ' αὐτοῦ δημηγορίας, εἰπεῖν, ὅτι καὶ αὐτὸς ἂν λέγοντος Δημοσθένους, ἐχειροτόνησα τὸν ἄνδρα τὸν κατ' ἐμοῦ πόλεμον· ἐκάλει δὲ τοὺς μὲν αὐτοῦ ὁμοίους τοῖς στρατιώταις διὰ τὴν πολεμικὴν ιν, τοὺς δὲ Ἰσοκράτους, τοῖς ἀθληταῖς, τέρψιν γὰρ ειν αὐτοὺς θεατρικήν. Ἑπτὰ δὲ καὶ τριάκοντα γονὼς, λογιζομένοις ἀπὸ Δεξιθέου εἰς Καλλίμαχον, παρ' Ὀλυνθίων ἧκε πρεσβεία περὶ τῆς βοηθείας, πιέζοντο ὑπὸ Φιλίππου τῷ πολέμῳ, ἔπεισε ἐκ- η τὴν βοήθειαν· τῷ δὲ ἑξῆς, ἐφ' οὗ Πλάτων ἐτε- εν, Φίλιππος Ὀλυνθίους κατεστρέψατο. Ἔγνω ὸν καὶ Ξενοφῶν ὁ Σωκρατικὸς ἢ ἀρχόμενον, ἢ ἀκ-

ἰους] Sic E. Lambin. Wolf. Vulgo, ὁμοίως.
ιερμικὴν] Recepi ex Phot. edita lectione, Wolf. Amiot. et Xyl. verſ. Vulgo, πομπικήν.

ı ſurrexit, veterumque m teſtimoniis prolatis :laris Thebanorum at- lynthiorum factis effe- Lamachus porro quieſ- :que conventu profu- Philippus autem iis, ationes a Demoſthene ipſum habitas refere- bi, reſponderit, *Etiam , ſi audiviſſem dicentem henem, bello contra me ndo eum ducem elegiſſem.* orationes Demoſthenis us ob vim comparabat: Iſocraticas athletis, quod de- lectationem exhiberent thea- tricam. Annos natus triginta et ſeptem (a Dexitheo enim ſupputo uſque ad Callima- chum, ſub quo legatio ab O- lynthiis venit auxilium pe- tentibus, quos Philippus bello premebat) ſuaſit ut mitteren- tur Olynthiis ſuppetiæ. An- no poſtero, in quem mors Platonis incidit, Philippus O- lynthios perdidit. Noverat Demoſthenem etiam Xeno- phon Socratis diſcipulus, ſive

μάζοντα· τῷ μὲν γὰρ τὰ Ἑλληνικὰ ἐτελεῖτο εἰς τὰ
περὶ τὴν ἐν Μαντινείᾳ μάχην, ἄρχοντα δὲ Χαρικλείδην·
ὁ δὲ πρότερον ἐπὶ Τιμοκράτους εἷλε τοὺς ἐπιτρόπους.
Φεύγοντος δὲ Αἰσχίνου μετὰ τὴν καταδίκην, ἵππῳ
κατεδίωξεν αὐτόν· τοῦ δὲ οἰηθέντος αὐτὸν συλλαμβάνεσθαι,
καὶ προσπεσόντος καὶ συγκαλυψαμένου, ἀναστήσας αὐτὸν
παρεμυθήσατο, καὶ τάλαντον ἔδωκεν ἀργυρίου. Καὶ συν-
εβούλευσε δὲ τῷ δήμῳ ξενικὸν ἐν Θάσῳ τρέφειν, καὶ ἐπὶ F
τούτῳ τριηράρχης ἐξέπλευσε. Σιτώνης δὲ γενόμενος, καὶ
κατηγορηθεὶς κλοπῆς, ἀφείθη. Φιλίππου δὲ Ἐλάτειαν
καταλαμβανομένου, καὶ αὐτὸς τοῖς ἐν Χαιρωνείᾳ μαχε-
σαμένοις συνεξῆλθεν· ὅθεν καὶ δοκεῖ τὴν τάξιν λιπεῖν,
φεύγοντος δὲ αὐτοῦ βάτον ἐπιλαβέσθαι τῆς χλαμύδος, τὸν
δὲ ἐπιστραφέντα εἰπεῖν, Ζώγρει· εἶχε δὲ καὶ ἐπίσημον ἐπὶ
τῆς ἀσπίδος, Ἀγαθῇ Τύχῃ. Εἶπε μέντοι τὸν ἐπι-

E. 4. ἐτελεῖτο εἰς τὰ] εἰς additum ex Wolf. Lambin. Xyl.
F. 4. καταλαμβανομένου] E. καταλαβομένου: forte, rectius.
F. 5. ὅθεν] Forte, ὅτε.

incipientem, ſive jam florentem: res enim Græcæ ei in Mantinenſem pugnam et archontem Chariclidam deſinunt: noſter jam ante ſub Timocrate tutores reos peregit. Æſchinem fugientem a damnatione, equo eſt perſecutus: cumque is ſe comprehenſum iri putans ad pedes ei acci-diſſet capite velato, erexit hominem, conſolatuſque talento argenti donavit. Auctor fuit populo, ut milites mercenarios in Thaſo aleret, eoque navigavit ipſe triremibus præfectus. Coëmendi frumenti geſto munere, accuſatus peculatus, abſolutuſque eſt. Cum Philippus Elateam occupaſſet, ipſe etiam cum iis egreſſus in bellum, qui ad Chæroneam pugnaverunt: atque ibi eum ordines deſeruiſſe aiunt, et cum fugientis chlamydem rubus apprehendiſſet, ſe convertiſſe, ac clamaviſſe, *Vivum cape*: clypei inſigne habuit Bonam Fortunam. Orationem tamen funebrem habuit de iis

ν ἐπὶ τοῖς πεσοῦσιν. Μετὰ δὲ ταῦτα πρὸς τὴν ὴν τῆς πόλεως τῇ ἐπιμελείᾳ προσελθὼν, καὶ τειχῶν ἐπιμελητὴς χειροτονηθεὶς, ἀπὸ τῆς ἰδίας εἰσήνεγκε τὸ ἀναλωθὲν ἀργύριον, μνᾶς ἑκατόν· ἐπέδε καὶ θεωροῖς μυρίας· τριήρους τε ἐπιβὰς, περιοσε τοὺς συμμάχους ἀργυρολογῶν. Ἐφ᾽ οἷς πολἐστεφανώθη, πρότερον μὲν ὑπὸ Δημοτέλους, νίκου, Ὑπερείδου χρυσῷ στεφάνῳ, τελευταῖον δὲ, ὑ Κτησιφῶντος· καὶ γραφέντος τοῦ ψηφίσματος νόμων ὑπὸ Διοδότου καὶ Αἰσχίνου, ἀπολογούμενος εν, ὥστε τὸ πέμπτον μέρος τῶν ψήφων τὸ διώκοντα εταλαβεῖν. Ὕστερον δὲ Ἀλεξάνδρου ἐπὶ τὴν ν στρατευομένου, καὶ φυγόντος Ἁρπάλου μετὰ ἀτων εἰς Ἀθήνας, τὸ μὲν πρῶτον ἐκώλυσεν αὐτὸν χθῆναι· ἐπειδὴ δὲ εἰσέπλευσε, λαβὼν Δαρεικοὺς ς μετετάξατο· βουλομένων τε Ἀθηναίων Ἀντιο παραδοῦναι τὸν ἄνθρωπον, ἀντεῖπεν, ἔγραψέ τε

um ceciderunt. Secunæc cura ad urbem exorn conversa, cum publice murorum procurator de, impensam ei rei pecule sua persolvit pecunia, centum: impendit etiam mille drachmas iis qui e ad sacras res conficimittebantur, (theoros i appellant) et conscensa i circumvectus, a sociis iam collegit. Itaque ob epius coronatus fuit, a tele, Aristonico, Hypecoronis aureis: tandem a Ctesiphonte. Cujus decretum cum ut contra leges factum accusarent Diodorus et Æschines, ipse defendens vicit: cum sane actor quintam suffragiorum partem non obtineret. Postea temporis cum Alexander expeditionem in Asiam fecisset, atque Harpalus cum pecunia Athenas fugisset; initio, ne reciperetur, egit. Sed postquam ille navi advenit, acceptis mille Daricis sententiam mutavit: cumque Harpalum Athenienses dedere Antipatro statuissent, reclama-

ἀποθέσθαι τὰ χρήματα εἰς ἀκρόπολιν, ἤδη τῷ δήμῳ τὸν ἀριθμὸν εἰπόντα· φήσαντος δὲ Ἁρπάλου ἑπτακόσια καὶ πεντήκοντα, ἢ ὀλίγῳ πλείονα, ὥς φησι Φιλόχορος, μετὰ δὲ ταῦτα φυγόντος Ἁρπάλου ἐκ τοῦ δεσμωτηρίου, ἐν ᾧ ἐφυλάσσετο μέχρις ἂν ἀφίκηταί τις παρ᾽ Ἀλεξάνδρου, καὶ πορευθέντος εἰς τὴν Κρήτην, ἢ, ὥς ἔνιοι, ἐπὶ Ταίναρον τῆς Λακωνικῆς, αἰτίαν ἔσχεν ὁ Δημοσθένης δωροδοκίας, καὶ διὰ τοῦτο, μήτε τὸν ἀριθμὸν τῶν ἀνακομισθέντων μεμηνυκώς, μήτε τὴν τῶν φυλασσόντων C ἀμέλειαν. Εἰσαχθεὶς δὲ εἰς δικαστήριον ὑπὸ Ὑπερείδου, Πυθέου, Μενεσαίχμου, Ἱμεραίου, Πατροκλέους, οἵ ἐποίησαν καταγνῶναι αὐτοῦ τὴν ἐξ Ἀρείου πάγου βουλὴν, καὶ ἁλοὺς ἔφυγε, πενταπλασίονα ἀποτῖσαι μὴ δυνάμενος, (ἔσχε δὲ αἰτίαν τριάκοντα τάλαντα λαβεῖν), ἢ, ὥς ἔνιοι, οὐχ ὑπομείνας τὴν κρίσιν. Μετὰ δὲ τοῦτον

B. 3. ἤδη] Forte ſanum: forte vitium ſubeſt: certe Photius corruptius etiam, μηδὲ—ἀποσημηνάμενος.

B. 4. καὶ πεντήκοντα] Sic Baſ. Xyl. Lambin. Wolf. Mez. Vulgo, ἢ πεντήκοντα.

C. 3. Πυθέου] Ita Xyl. P. Wolf. Lambin. Vulgo, Πυθαίου.

vit: pecuniamque promulgato decreto in arce deponi, ſummamque populo indicari juſſit: cum Harpalus dixiſſet eſſe ſeptingenta et quinquaginta, aut non multo pauciora talenta: ut eſt apud Philochorum: poſt cum e carcere profugiſſet Harpalus, in quo tantiſper adſervandus fuerat, donec aliquis ab Alexandro veniret, ac ſe in Cretam, vel Tænarum Laconiæ (nam et hoc quidam dicunt) contuliſſet; vitio datum eſt Demoſtheni, quod muneribus ſe paſſus corrumpi, neque numerum relatæ pecuniæ edidiſſet, neque cuſtodum incuriam indicaſſet. Itaque in judicium pertractus ab Hyperide, Pythea, Meneſæchmo, Himeræo, Patrocle, a concilio Areopagitico damnatus in exſilium abiit, cum quintuplum perſolvere non poſſet: etenim triginta talenta accepiſſe culpabatur: alii, eum ſubire judicii aleam noluiſſe, dicunt.

τὸν χρόνον τῶν Ἀθηναίων Πολύευκτον πεμψάντων πρεσβευτὴν πρὸς τὸ κοινὸν τῶν Ἀρκάδων, ὥστε ἀποστῆναι
D αὐτοὺς τῆς τῶν Μακεδόνων συμμαχίας, καὶ τοῦ Πολυεύκτου πεῖσαι μὴ δυναμένου, ἐπιφανεὶς Δημοσθένης καὶ συνειπὼν ἔπεισεν. Ἐφ' ᾧ θαυμασθεὶς, μετὰ χρόνον τινὰ κάθοδον εὕρατο, ψηφίσματος γραφέντος, τριήρους ἀποσταλείσης, τῶν δὲ Ἀθηναίων ψηφισαμένων εἰς ἃ ὤφειλε τριάκοντα, ποιῆσαι αὐτὸν τὸν βωμὸν τοῦ σωτῆρος Διὸς ἐν Πειραιεῖ καὶ ἀφεῖσθαι, τοῦτο γράψαντος τὸ ψήφισμα Δήμωνος Παιανιέως, ὃς ἦν ἀνεψιὸς αὐτῷ· πάλιν ἐν τούτοις ἦν πολιτευόμενος. Ἀντιπάτρου δὲ εἰς Λάμειαν ὑπὸ τῶν Ἑλλήνων συγκλεισθέντος, τῶν Ἀθη-
E ναίων εὐαγγέλια θυόντων, πρός τινα τῶν ἑταίρων Ἀγησίστρατον ἔφη οὐ τὴν αὐτὴν γνώμην ἔχειν τοῖς ἄλλοις περὶ τῶν πραγμάτων, ἐπίσταμαι γὰρ, εἰπεῖν, τοὺς Ἕλληνας στάδιον μὲν πολεμεῖν καὶ εἰδότας καὶ δυναμένους, δόλιχον

C. 9. ἀποστῆναι] Rectius erat, ἀποστῆσαι.
D. 9. ἐν τούτοις ἦν πολιτευόμενος] Lambin. corrigit, ἦν πάλιν ἐν τοῖς πολιτευομένοις. Photius, καὶ ἦν πάλιν κατὰ τὸ πρότερον πολιτευόμενος.

Secundum hanc tempestatem, cum Athenienses Polyeuctum ad rempublicam Arcadum misissent, ut eos a societate Macedonum abstraheret, isque persuadere nequiret, supervenit Demosthenes, patrocinansque caussæ civium persuasit. Hoc ei admirationem peperit: et aliquanto post tempore ab Atheniensibus missa triremi est revocatus in patriam: cum ii, Damone Pæaniensi, consobrino Demosthenis, auctore, scivissent ut culpa solveretur, modo de triginta quæ debebat talentis ædificaret aram Jovis Servatoris in Piræo. Hoc pacto ad rempublicam rediit. Ceterum Antipatro Lamiam a Græcis concluso, et Atheniensibus ob faustum nuncium sacrificantibus, cuidam sociorum Agesistrato dixit, *Se de rebus hisce non idem cum aliis sentire, scire enim se, Græcos stadium conficere belligerando posse, dolichum non posse.* Ut

δὲ οὐκέτι. Φάρσαλον δὲ ἑλόντος Ἀντιπάτρου, καὶ πολιορκήσειν ἀπειλοῦντος Ἀθηναίους, εἰ μὴ τοὺς ῥήτορας ἐκδοίησαν, καταλιπὼν ὁ Δημοσθένης τὴν πόλιν ἔφυγε, πρῶτον μὲν εἰς Αἴγιναν ἐπὶ τὸν Αἰάκειον καθεδούμενος, φοβηθεὶς δὲ εἰς Καλαβρίαν μετέστη. Ἐκδιδόναι δὲ τοὺς ῥήτορας τῶν Ἀθηναίων ψηφισαμένων, κἀκεῖνον, καθέζετο ἱκέτης ἐν τῷ τοῦ Ποσειδῶνος ἱερῷ, ἐλθόντος δ' ἐπ' αὐτὸν Ἀρχίου τοῦ Φυγαδοθήρου ἐπικαλουμένου, ὃς παρέβαλεν Ἀναξιμένει τῷ ῥήτορι, πείθοντος αὐτὸν ἀναστῆναι ὡς φίλον Ἀντιπάτρῳ γενησόμενον, εἶπεν ὅτι, " Οὔτε ὅτε ἐτραγῴδεις ἔπειθές με, οὔτε νῦν πείσεις συμβουλεύων" τοῦ δὲ ἐπιχειροῦντος βιάζεσθαι, ἐκώλυσαν αὐτὸν οἱ κατὰ τὴν πόλιν· καὶ Δημοσθένης ἔφη, " Οὐ σωτηρίας δεόμενος κατέφυγον εἰς Καλαβρίαν, ἀλλ' ὡς ἐλέγξων Μακεδόνας καὶ κατὰ τῶν θεῶν βιαζομένους," αἰτήσας τε γραμματεῖον,

E. 8. Αἰάκειον] Ita e Plutarchi Vit. Demosth. correxerunt Xyl. Wolf. Lambin. Vulgo, Ἀκραῖον.

E. 9. Καλαβρίαν] Ita libri. At Lambin. et Wolf. ex Plut. Vit. Demosth. rectius Καλαυρίαν, hic et infra.

Antipater Pharsalo capta minatus est se Athenas obsessurum, nisi Oratores dederent: Urbe relicta Demosthenes fugit, primum Æginam, ut in Æaci templo sessurus: deinde metu compulsus, in Calauriam transiit: cumque decrevissent Athenienses una cum aliis oratoribus ipsum quoque esse dedendum, supplex in fano Neptuni desedit. Ubi eo venit Archias, qui a conquirendis ad supplicium exsulibus nomen Phygadotheræ invenit, discipulusque fuit Anaximenis oratoris, suasitque ut progrederetur, amicus Antipatro futurus, *Neque ante*, inquit, *tragœdias agens te mihi probavisti, neque nunc consulendo persuadebis.* Cumque vim Archias moliretur, prohibuere oppidani: Demosthenes autem dixit, *Non salutis cupiditate Calauriam confugi: verum ut demonstrarem etiam sacrosancta a Macedonibus violari.* Poposcit deinde tabellam: eique, si Demetrio Mag-

ἔγραψεν, ὡς μὲν Δημήτριος ὁ Μάγνης φησὶ, τὸ ἐπὶ τῆς εἰκόνος αὐτοῦ ἐλεγεῖον, ἐπιγεγραμμένον ὑπὸ τῶν Ἀθηναίων ὕστερον,

> Εἴπερ ἴσην ῥώμην γνώμῃ, Δημόσθενες, ἔσχες,
> Οὔ ποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

Κεῖται δὲ εἰκὼν πλησίον τοῦ περισχοινίσματος καὶ τοῦ βωμοῦ τῶν δώδεκα θεῶν, ὑπὸ Πολυεύκτου πεποιημένη. Ὡς δ' ἔνιοί φασι, τοῦτο εὑρέθη γεγραμμένον, "Δημοσθένης "Ἀντιπάτρῳ χαίρειν." Ἀποθανεῖν δὲ αὐτὸν, Φιλόχορος μέν φησι, φάρμακον πιόντα· Σάτυρος δὲ ὁ συγγραφεὺς, τὸν κάλαμον πεφαρμάχθαι, ᾧ γράφειν ἤρξατο τὴν ἐπιστολὴν, οὗ γευσάμενον ἀποθανεῖν. Ἐρατοσθένης δὲ, ἐκ πολλοῦ δεδοικότα Μακεδόνας, περὶ τῷ βραχίονι κρίκον περικεῖσθαι πεφαρμαγμένον· εἰσὶ δ' οἵ φασι, συσχόντα αὐτὸν τὸ πνεῦμα ἀποθανεῖν· οἱ δὲ εἶπον, τοῦ κατὰ τὴν σφραγῖδα φαρμάκου γευσάμενον. Ἐβίω δὲ ὡς μὲν οἱ τὰ πλείω λέγουσιν ἔτη ἑβδομήκοντα· ὡς δὲ

B. 5. Ἐβίω δὲ—Ἐπολιτεύσατο] Addidimus hæc e Photio. Vulgo deſunt.

neti credimus, inſcripſit elegiacum hoc, quod poſtmodo ipſius ſimulacro inſcribi curavere Athenienſes : ejus hic eſt ſenſus,

> *Si tibi vis animo, Demoſthenes, æqua fuiſſet,*
> *Non Macedum ferret Græcia victa jugum.*

Situm eſt ſimulachrum prope ſeptum et aram duodecim deorum, a Polyeucto factum. Alii hoc aiunt fuiſſe ſcriptum inventum, *Demoſthenes Antipatro ſalutem.* Mortuum eum eſſe tradit Philochorus epoto veneno : Satyrus autem hiſtoriæ ſcriptor, veneno imbutum fuiſſe calamum, quo ſcribere epiſtolam cœperit, eoque guſtato ipſum periiſſe : Eratoſthenes, jampridem ſibi a Macedonibus metuentem, armillam veneno infectam geſtaſſe circa brachium. Sunt qui dicant contento ſpiritu mortem ſibi paraſſe : alii, venenum hauſiſſe, quod in ſigillo habebat. Vixit, ut qui plurimum dicunt, ſeptuaginta an-

οἱ τὰ ἐλάττω, ἑπτὰ καὶ ἑξήκοντα. Ἐπολιτεύσατο δὲ δύο καὶ εἴκοσιν. Ἡνίκα δὲ Φίλιππος ἐτεθνήκει, λαμπρὰν ἐσθῆτα προῆλθεν ἔχων, καίτοι τῆς θυγατρὸς αὐτοῦ νεωστὶ τετελευτηκυίας, ἐφηδόμενος τῷ τοῦ Μακεδόνος θανάτῳ. Συνήργησε δὲ καὶ Θηβαίοις πρὸς Ἀλέξανδρον πολεμοῦσι, καὶ τοὺς ἄλλους Ἕλληνας ἐπέρρωσεν ἀεί. C
Διόπερ Θήβας κατασκάψας, ἐξῄτει παρ' Ἀθηναίων Ἀλέξανδρος αὐτόν, ἀπειλῶν εἰ μὴ δοῖεν. Στρατευομένου δὲ αὐτοῦ ἐπὶ Πέρσας, καὶ αἰτοῦντι ναυτικὸν παρ' Ἀθηναίων, ἀντεῖπεν, Ἄδηλον, εἰπών, εἰ οὐ κατὰ τῶν παρασχόντων χρήσεται. Κατέλιπε δύο παῖδας ἐκ μιᾶς γυναικὸς τῶν εὐδοκίμων Ἡλιοδώρου τινὸς θυγατρός· θυγατέρα μίαν ἔσχεν, ἣ παῖς ἔτι οὖσα, πρὸ γάμου ἐτελεύτησεν· εἶχε δὲ καὶ ἀδελφήν, ἐξ ἧς καὶ Λάχου Λευκονοέως ἀδελφιδοῦς αὐτοῦ Δημοχάρης ἐγένετο, ἀνὴρ καὶ κατὰ πόλεμον ἀγαθός, καὶ κατὰ τοὺς πολιτικοὺς λόγους οὐδενὸς χείρων. Ἔστι δὲ D

C. 7. εὐδοκίμων] Sumsi a Lambin. Mez. Vulgo, εὐδοκίμου.

nos: ut qui minimum, septem supra sexaginta. Rempublicam tractavit duo et viginti. Mortuo autem Philippo, nitida indutus veste prodiit in publicum, gaudens morte istius: quanquam ipse nuper filiam amisisset. Thebanis quoque contra Alexandrum bellantibus adjumento fuit, ac reliquos Græcos subinde animavit. Itaque Alexander cum Thebas everteret, hunc ab Athenienfibus postulavit, additis, nisi dederent, minis. Huic in Persas ducenti, et navale subsidium petenti, Demosthenes contradixit: *Incertum esse*, inquiens, *an non contra præbentes id usurus eo esset*. Duos reliquit filios ex una uxore, Heliodori cujusdam probati civis filia. Unicam habuit filiam, quæ puella, antequam nuberet, e vivis excessit. Soror etiam illi fuit, qua, et Lachete Leuconensi, consobrinus natus est Demochares, vir bellicis rebus, et orationibus civilibus nemini secundus. Statua ei posita in Prytaneo ex-

αὐτοῦ εἰκὼν ἐν τῷ πρυτανείῳ εἰσιόντων πρὸς τὴν ἑστίαν δεξιᾷ, ὁ πρῶτος περιεζωσμένος ἅμα τῷ ἱματίῳ καὶ ξίφος· οὕτω γὰρ δημηγορῆσαι λέγεται, ἡνίκα Ἀντίπατρος ἐξῄτει τοὺς ῥήτορας. Χρόνῳ δὲ ὕστερον Ἀθηναῖοι σίτησίν τε ἐν πρυτανείῳ τοῖς συγγενέσι τοῦ Δημοσθένους ἔδοσαν, καὶ αὐτῷ τετελευτηκότι τὴν εἰκόνα ἀνέθεσαν ἐν ἀγορᾷ, ἐπὶ Γοργίου ἄρχοντος, αἰτησαμένου αὐτῷ τὰς δωρεὰς τοῦ ἀδελφιδοῦ Δημοχάρους· ᾧ καὶ αὐτῷ πάλιν ὁ υἱὸς Λάχης Δημοχάρους Λευκονεὺς ᾐτήσατο δωρεάς, ἐπὶ Πυθαράτου ἄρχοντος δεκάτῳ δ' ἔτει ὕστερον, εἰς τὴν τῆς εἰκόνος στάσιν ἐν ἀγορᾷ, καὶ σίτησιν ἐν πρυτανείῳ, αὐτῷ τε καὶ ἐγγόνων ἀεὶ τῷ πρεσβυτάτῳ, καὶ προεδρίαν ἐν ἅπασι τοῖς ἀγῶσι· καὶ ἔστι τὰ ψηφίσματα ὑπὲρ ἀμφοτέρων ἀναγεγραμμένα· ἡ δὲ εἰκὼν τοῦ Δημοχάρους εἰς τὸ πρυτανεῖον μετεκομίσθη, περὶ ἧς προείρηται. Φέρονται δὲ αὐτοῦ λόγοι γνήσιοι ἑξήκοντα πέντε. Φασὶ δέ τινες καὶ

E. 1. δ' ἔτει] Additum ex E. H. Similiter Xyl. Lambin. Wolf. δεκάτῳ ὕστερον ἔτει. Vulgo, δεκάτῳ ὕστερον.

ſtat, ad dextram introitus partem prima, non tantum tunica, ſed etiam gladio accincta: hoc enim habitu concionatus dicitur, quo tempore Antipater Oratores quæſivit. Poſtea temporis Athenienſes cognatis Demoſthenis alimenta in Prytaneo dederunt, ipſique mortuo ſtatuam in foro poſuerunt, Gorgia archonte: cum hos honores ei flagitaſſet Demochares ſorore ipſius natus. Cui et ipſi filius Laches Democharis filii Leuconenſis dona impetravit, decennio poſt, Pytharato archonte: nempe ut ſtatua in foro poneretur: cum ipſe, tum poſterorum ſemper qui natu maximus eſſet, cibum in Prytaneo haberent, primamque ſeſſionem in omnibus certaminum ſpectaculis. Hæc de utriſque decreta, infra perſcripta leges. Statua Democharis, quam memoravimus, in Prytaneum eſt tranſlata e foro. Feruntur orationes ejus germanæ ſexaginta et quin-

ἀσώτως αὐτὸν βιῶναι, γυναικείαις τε ἐσθῆσι χρώμενον, καὶ κωμάζοντα ἑκάστοτε, ὅθεν Βάταλον ἐπικληθῆναι· οἱ δὲ ὑποκοριστικῶς ἀπὸ τοῦ ὀνόματος τῆς τροφοῦ λέγουσιν αὐτὸν οὕτω λελοιδορῆσθαι. Διογένης δὲ ὁ κύων θεασάμενος αὐτόν ποτε ἐν καπηλείῳ αἰσχυνόμενον καὶ ὑποχωροῦντα εἶπεν, "Ὅσῳ μᾶλλον ὑποχωρεῖς, τοσούτῳ "μᾶλλον ἐν τῷ καπηλείῳ ἔσῃ·" ἔλεγε δὲ αὐτὸν παρασκώπτων ἐν μὲν τοῖς λόγοις Σκύθην εἶναι, ἐν δὲ ταῖς μάχαις ἀστικόν. Ἔλαβε καὶ παρὰ Ἐφιάλτου χρυσίον ἑνὸς τῶν δημαγωγῶν, ὃς πρεσβεύσας πρὸς βασιλέα χρήματα φέρων ἧκε λάθρα, ὅπως διανείμας τοῖς δημαγωγοῖς, τὸν πρὸς Φίλιππον ἐξάψῃ πόλεμον· καὶ ἰδίᾳ αὐτὸν δωροδοκῆσαι παρὰ βασιλέως φασὶ δαρεικοὺς τρισχιλίους. Ἀναξίλαν δέ τινα Ὠρείτην, ξένον αὐτοῦ γεγονότα, συλλαβὼν ἐβασάνιζεν ὡς κατάσκοπον, οὐδὲν δὲ ἐξειπόντα ἐψηφίσατο τοῖς Ἕνδεκα παραδοῦναι. Λέγεται δέ ποτε κωλυόμενος ὑπὸ Ἀθηναίων ἐν ἐκκλησίᾳ, Βραχύ,

que. Quidam eum etiam impudice victitasse narrant, vestitu usum subinde muliebri, ac comessationibus; unde *Batalus* fuerit cognominatus: alii diminutive a nutricis nomine ferunt sic per contumeliam vocatum. Diogenes, qui Canis usurpatus fuit, cum eum aliquando in caupona conspexisset, pudore commoto et intro recedenti, *Quanto magis*, inquit, *intro te recipies, tanto magis intus eris.* Eundem salse cavillans, *in orationibus* aiebat *esse Scytham, in prœliis urbanum.* Accepit etiam ab Ephialte aurum, uno popularium Oratorum, qui legatus ad regem Persarum missus, clam attulerat pecuniam, qua inter oratores Athenienses distributa, horum opera bellum contra Philippum inflammaret: ac Demosthenem a rege nominatim dono Daricorum ter mille corruptum autumant. Anaxilem Oreitem hospitem suum comprehendit, et ut exploratorem torsit: nihilque confitentem, Undecimviris tradi, facto decreto, jussit. Cum aliquando in concione Athenienses eum

ἔφη, βούλεσθαι πρὸς αὐτοὺς εἰπεῖν· τῶν δὲ σιωπησάντων, "Νεανίας," εἶπε, "θέρους ὥρᾳ ἐμισθώσατο ἐξ ἄστεος ὄνον Μεγάραδε· μεσούσης δὲ τῆς ἡμέρας, καὶ σφοδρῶς φλέγοντος τοῦ ἡλίου, ἑκάτερος αὐτῶν ἐβούλετο ὑποδύεσθαι ὑπὸ τὴν σκιάν· εἶργον δὲ ἀλλήλους, ὁ μὲν, μεμισθωκέναι τὸν ὄνον, οὐ τὴν σκιὰν, λέγων· ὁ δὲ, μεμισθωμένος, τὴν πᾶσαν ἔχειν ἐξουσίαν." Καὶ ταῦτα εἰπὼν, ἀπῄει. Τῶν δὲ Ἀθηναίων ἐπισχόντων, καὶ δεομένων πέρας ἐπιθεῖναι τῷ λόγῳ, "Εἶθ' ὑπὲρ μὲν ὄνου σκιᾶς," ἔφη, "βούλεσθε ἀκούειν, λέγοντος δὲ ὑπὲρ σπουδαίων πραγμάτων οὐ βούλεσθε;" Πώλου δέ ποτε τοῦ ὑποκριτοῦ πρὸς αὐτὸν εἰπόντος ὅτι δυσὶν ἡμέραις ἀγωνισάμενος τάλαντον λάβοι μισθὸν, "Ἐγὼ δὲ," εἶπε, "πέντε τάλαντα, μίαν ἡμέραν σιωπήσας." Παραφθαρεὶς δὲ τὴν φωνὴν ἐν ἐκκλησίᾳ καὶ θορυβηθεὶς, "Τοὺς ὑποκριτὰς," ἔφη, "δεῖν κρίνειν ἐκ τῆς φωνῆς, τοὺς δὲ ῥήτορας ἐκ τῆς γνώμης." Ὀνειδίσαντος δὲ αὐτὸν Ἐπικλέους, ὅτι

non finerent orare, breve quippiam se iis velle dicere professus est. Factoque silentio ita est fatus: *Adolescens quidam æstate asinum conduxit ex astu Megaram, eo usurus. Meridie cum solis æstus esset vehemens, cum ipse, tum asini dominus in umbra jumenti cubare volentes, alter alterum pellebat: cum dominus non umbram a se, sed asinum esse locatum: conductor in sua potestate esse omnia contenderet.* His dictis ille abire cœpit. Atheniensibus autem retinentibus, utque orationem pertexeret rogantibus, *Ergo*, inquit, *de asini umbra audire vultis, de rebus seriis differentem audire recusatis?* Polo histrioni aliquando dicenti ad ipsum, *Bidui certamine se talentum pro mercede retulisse*, respondit, *Ego quinque talentis unius diei silentium vendidi.* Aliquando in concione voce ipsum deficiente cum obturbaretur, *de histrionibus*, dixit, *e voce*, *de Oratoribus e sententia judicium esse petendum.* Exprobranti continentem meditatio-

ἀεὶ σκέπτοιτο, "Αἰσχυνοίμην γὰρ," εἶπεν, "εἰ τηλικούτῳ δήμῳ συμβουλεύων αὐτοσχεδιάζοιμι." Ἱστοροῦσι δὲ ὡς οὐδὲ λύχνον ἔσβεσεν, ἄχρι πεντήκοντα ἐτῶν ἐγένετο, διακρίνων τοὺς λόγους. Αὐτὸς δέ φησιν ὑδροποσίᾳ χρήσασθαι. Ἔγνω δὲ αὐτὸν καὶ Λυσίας ὁ ῥήτωρ, καὶ Ἰσοκράτης εἶδε πολιτευόμενον ἄχρι τῆς ἐν Χαιρωνείᾳ μάχης, καί τινες τῶν Σωκρατικῶν φιλοσόφων. Τοὺς δὲ πλείστους λόγους εἶπεν αὐτοσχεδιάσας, εὖ πρὸς αὐτοὺς πεφυκώς. Πρῶτος δὲ ἔγραψε στεφανωθῆναι αὐτὸν χρυσῷ στεφάνῳ Ἀριστόνικος Νικοφάνους Ἀναγυράσιος, ὑπωμόσατο δὲ Διώνδας.

θ'.

ΥΠΕΡΙΔΗΣ.

Ὑπερίδης Γλαυκίππου μὲν ἦν πατρὸς τοῦ Διονυσίου, τὸν δὲ δῆμον Κολυττεύς· ἔσχε δὲ υἱὸν ὁμώνυμον τῷ πατρὶ Γλαύκιππον ῥήτορα, καὶ λόγους συγγράψαντα· οὗ πάλιν

C. 5. διακρίνων] Rectius, διακριβῶν, Lambin.
C. 9. πρὸς αὐτοὺς] Forte, πρὸς αὐτὸ, ut Reisk.

nem Epicli, *Ego vero*, inquit, *dedecori hoc ducerem, si tanto populo consulens aliquid subito ad animum mihi allapsum pronunciarem.* Lucernam ab eo nunquam exstinctam perhibent, ad annum ætatis quinquagesimum, orationes dijudicante. Ipse ait, se aquam potasse. Novit eum etiam Lysias orator, et Isocrates in republica versantem vidit, usque ad pugnam Chæronensem, et quidam Socraticorum philosophorum. Plerasque orationes ex tempore dixit, a natura ad hoc factus. Primus de eo aurea corona donando retulit Aristonicus Nicophanis filius Anagyrasius: quanquam Diondas jurejurando dato intercessit.

IX.

HYPERIDES.

Hyperides Glaucippi filius, Dionysii nepos, curia Colyttensis fuit. Habuit filium cognominem avo Glaucippum Oratorem, qui etiam orationes conscripsit, filiumque ha-

Ἀλφινὸς ἐγένετο. Ἀκρατὴς δὲ Πλάτωνος γενόμενος
τοῦ φιλοσόφου, ἅμα Λυκούργου καὶ Ἰσοκράτους τοῦ ῥήτορος,
ἐπολιτεύσατο Ἀθήνησιν, καθ᾽ ὃν χρόνον Ἀλέξανδρος
E τῶν Ἑλληνικῶν ἥπτετο πραγμάτων· καὶ περὶ τῶν στρα-
τηγῶν, ὧν ᾔτει παρ᾽ Ἀθηναίων, ἀντεῖπε, καὶ περὶ τῶν
τριήρων· συνεβούλευσε δὲ καὶ τὸ ἐπὶ Ταινάρῳ ξενικὸν
μὴ διαλῦσαι, οὗ Χάρης ἡγεῖτο, εὐνόως πρὸς τὸν στρα-
τηγὸν διακείμενος. Τὸ δὲ πρῶτον μισθοῦ δίκας ἔλεγε.
Δόξας δὲ κεκοινωνηκέναι τῶν Περσικῶν χρημάτων Ἐφι-
άλτῃ, τριήραρχός τε αἱρεθεὶς, ὅτε Βυζάντιον ἐπολιόρκει
Φίλιππος, βοηθὸς Βυζαντίοις ἐκπεμφθεὶς κατὰ τὸν ἐν-
ιαυτὸν τοῦτον, ὑπέστη χορηγῆσαι, τῶν ἄλλων λειτουργίας
F πάσης ἀφειμένων. Ἔγραψε καὶ Δημοσθένους τιμὰς, καὶ
τοῦ ψηφίσματος ὑπὸ Διώνδου παρανόμων γραφέντος,
ἀπέφυγε. Φίλος δὲ ὢν τοῖς περὶ Δημοσθένη καὶ Λυσι-

D. 8. Ἀλφινὸς] Ἀλφίνους E. H. et, ut videtur, P.
E. 3. συνεβούλευσε δὲ] δὲ aſſumtum ex P. Mez.

buit Alphinum. Sed Hyperides cum fuiſſet Platonis philoſophi auditor, una cum Lycurgo rempublicam geſſit, quo tempore Alexander res Græcas eſt aggreſſus: cui etiam poſtulanti prætores Athenienſium, et triremes, dicendo reſtitit. Conſilium etiam dedit de non dimittendo mercenariorum militum præſidio, quod erat Tænaro impoſitum, duce Charete, idque viſus fuit facere ob benevolentiam, qua eorum ducem complectebatur. Initio mercede conductus cauſſas oravit. Creditus eſt cum Ephialte particeps fuiſſe regiarum pecuniarum. Triremibus præfectus ſuffragiis populi, quo tempore Philippus Byzantium oppugnavit, miſſus ad ferendam ei urbi opem, eo anno ſuſtinuit chorum ſumtibus inſtruere, cum alii omni publico miniſterio ſoluti eſſent. Rogationem etiam tulit de honoribus Demoſtheni deferendis: cumque illud decretum Diondas ut contra leges factum interceſſione jurata impugnaret, abſolutus eſt. In amicitia Demoſthenis, Lyſiclis, et Ly-

κλέα καὶ Λυκοῦργον, οὐκ ἐνέμεινε μέχρι τέλους· ἀλλ', ἐπεὶ Λυσικλῆς μὲν καὶ Λυκοῦργος ἐτεθνήκεσαν, Δημοσθένης δὲ ὡς παρὰ Ἁρπάλου δωροδοκήσας ἐκρίνετο, προχειρισθεὶς ἐξ ἁπάντων, (μόνος γὰρ ἔμενεν ἀδωροδόκητος,) κατηγόρησεν αὐτοῦ. Κριθεὶς δὲ ὑπὸ τοῦ Ἀριστογείτονος παρανόμων ἐπὶ τῷ γράψαι μετὰ Χαιρώνειαν, τοὺς μετοίκους πολίτας ποιήσασθαι, τοὺς δὲ δούλους ἐλευθέρους, ἱερὰ δὲ καὶ παῖδας καὶ γυναῖκας εἰς τὸν Πειραιᾶ ἀποθέσθαι, ἀπέφυγεν. Αἰτιωμένων δέ τινων αὐτὸν ὡς παριδόντα πολλοὺς νόμους ἐν τῷ ψηφίσματι, "Ἐπεσκότει," ἔφη, "μοι τὰ Μακεδόνων ὅπλα· καὶ οὐκ ἐγὼ τὸ ψή-" "φισμα ἔγραψα, ἡ δ' ἐν Χαιρωνείᾳ μάχη." Μετὰ μέντοι τοῦτο νεκρῶν ἔδωκεν ἀναίρεσιν ὁ Φίλιππος φοβηθεὶς, πρότερον οὐ δοὺς τοῖς ἐλθοῦσιν ἐκ Λεβαδείας κήρυξιν. Ὕστερον δὲ μετὰ τὰ περὶ Κρανῶνα συμβάντα ἐξαιτηθεὶς ὑπὸ Ἀντιπάτρου, καὶ μέλλων ἐκδίδοσθαι ὑπὸ

A. 4. Ἐπεσκότει.] Sic revocavi ex Ald. Bas. Xyl. E. H. P. Stephanus dederat Εἰ μὴ ἐπεσκότει, in quo ei assentiuntur Leonic. Schott. Anon.
A. 5. καὶ οὐκ ἐγὼ] καὶ addidi e Phot. Mez.
A. 6. Μετὰ] Sic E. H. Schott. Mez. Vulgo, Κατά.

curgi non usque ad finem permansit. Nam, his duobus vita defunctis, Demosthene in jus vocato quod ab Harpalo corruptus pecunia diceretur, ex omnibus ipse designatus (solus enim corruptelam non admiserat) eum accusavit. Postulatus violatarum legum, quod lege promulgata jussisset inquilinos in civium numerum referri, servos libertate donari, sacra, liberos, et uxores in Piræum deponi, absolutus est: ac quibusdam culpantibus, quod eo in decreto multas leges quasi non videns eas præterivisset, *Arma*, respondit, *Macedonum sibi tenebras offudisse: neque a se id decretum, sed a Chæronensi pugna fuisse confectum.* Tamen Philippus postmodo corpora tolli cæsorum permisit metu ipsi illato, cum id antea profectis a Lebadia legatis denegasset. Denique post cladem ad Cranonem acceptam cum postularetur ab Antipatro, populusque eum esset

B τοῦ δήμου, ἔφυγεν ἐκ τῆς πόλεως εἰς Αἴγιναν, ἅμα τοῖς κατεψηφισμένοις· καὶ συμβαλὼν Δημοσθένει καὶ περὶ τῆς διαφορᾶς ἀπολογησάμενος, ἀπαλλαγεὶς ἐκεῖθεν, ὑπὸ Ἀρχίου τοῦ Φυγαδοθήρου ἐπικληθέντος, Θουρίου μὲν τὸ γένος, ὑποκριτοῦ δὲ τὰ πρῶτα, τότε δὲ τῷ Ἀντιπάτρῳ βοηθοῦντος, ἐλήφθη πρὸς βίαν ἐν τῷ ἱερῷ τοῦ Ποσειδῶνος, ἐχόμενος ἀγάλματος· καὶ ἀχθεὶς πρὸς Ἀντίπατρον εἰς Κόρινθον, ἔπειτα βασανιζόμενος, διέφαγε τὴν γλῶτταν, ὥστε μηδὲν ἐξειπεῖν τῶν τῆς πόλεως ἀπορρήτων δυνηθῆναι· καὶ οὕτως ἐτελεύτησε, Πυανεψιῶνος ἐνάτῃ ἱσταμένου. Ἕρ-

C μιππος δέ φησιν αὐτὸν γλωττοτομηθῆναι εἰς Μακεδονίαν ἐλθόντα καὶ ῥιφῆναι ἄταφον, Ἀλφίνον δὲ ἀνεψιὸν ὄντα αὐτῷ, ἤ, ὥς τινες, Γλαυκίππου τινὸς τὸν υἱὸν διὰ Φιλοπείθους τινὸς ἰατροῦ λαβόντα ἐξουσίαν τοῦ σώματος, καῦσαι αὐτὸν καὶ τὰ ὀστᾶ κομίσαι εἰς Ἀθήνας τοῖς προσήκουσι, παρὰ τὰ τῶν Ἀθηναίων καὶ Μακεδόνων δόγματα·

B. 2. καὶ περὶ] Sic E. Xyl. Vulgo, διά. P. περί.
C. 3. τινὸς τὸν υἱὸν] Xyl. τοῦ υἱοῦ: quo item ducere videtur E. H. τῶν υἱῶν.

dediturus, una cum aliis damnatis Æginam ex aſtu profugit: congreſſuſque cum Demoſthene purgavit ſe de diſſenſione. Inde profectus, ab Archia (qui cognomento Phygadotheras, Thurius patria, olim hiſtrio, tunc Antipatro inſerviebat) in templo Neptuni Hermionenſi comprehenſus, et vi a ſimulachro quod complectebatur abreptus, ad Antipatrum eſt Corinthum perductus: ibi inter tormenta quæſtionis linguam ſuam dentibus ſuis conſcidit, ne quod patriæ arcanum poſſet eloqui. Itaque mortuus eſt, menſis Pyanepſionis nona die. Hermippus ait, eum cum in Macedoniam eſſet perlatus, lingua fuiſſe mutilatum, inſepultumque abjectum: ſed Alphinum, conſobrinum ejus, ſive, ut aliorum fert opinio, nepotem e filio Glaucippo, opera Philopithis cujuſdam medici, corpore avi potitum, id cremaſſe, oſſaque Athenas ad cognatos pertuliſſe, contra et Athenienſium et Macedonum edicta: nam non exſi-

οὐ μόνον γὰρ κελεῦσαι αὐτοὺς φυγεῖν, ἀλλὰ μηδ' ἐν τῇ οἰκείᾳ ταφῆναι. Οἱ δ', ἐν Κλεωναῖς ἀποθανεῖν αὐτὸν, λέγουσιν, ἀπαχθέντα μετὰ τῶν ἄλλων, ὅπου γλωττοτμηθῆναι καὶ διαφθαρῆναι ὃν προείρηται τρόπον· τοὺς δὲ οἰκείους τὰ ὀστᾶ λαβόντας, θάψαι τε ἅμα τοῖς γονεῦσι πρὸ τῶν Ἱππάδων πυλῶν· ὥς φησιν Ἡλιόδωρος ἐν τῷ τρίτῳ περὶ μνημάτων. Νυνὶ δὲ κατερήρειπται τὸ μνῆμα, D
καὶ ἔστιν ἄδηλον. Πάντων δὲ κατὰ τὴν δημηγορίαν διενεγκεῖν λέγεται. Τέτακται δὲ ὑπὸ ἐνίων πρὸ Δημοσθένους. Φέρονται δὲ αὐτοῦ λόγοι ἑβδομηκονταεπτὰ, ὧν γνήσιοί εἰσι πεντήκοντα δύο. Ἐγένετο δὲ καὶ πρὸς τὰ ἀφροδίσια καταφερὴς, ὡς ἐκβαλεῖν μὲν τὸν υἱὸν, εἰσαγαγεῖν δὲ Μυρρίνην τὴν πολυτελεστάτην ἑταίραν· ἐν Πειραιεῖ δὲ ἔχειν Ἀρισταγόραν· ἐν Ἐλευσῖνι δὲ ἐν τοῖς ἰδίοις κτήμασι Φίλτην Θηβαίαν, εἴκοσι μνῶν λυτρωσάμενος. Ἐποιεῖτό τε τὸν περίπατον ἐν τῇ ἰχθυοπώλιδι

C. 12. Ἡλιόδωρος] Legendum, Διόδωρος ex emendatione D. Ruhnkenii Hist. Crit. Or. p. 36.

lium modo ei imperaverant, sed etiam vetabant ne in patria sepeliretur. Alii apud Cleonas eum aiunt, eo cum aliis abductum, lingua truncatum periisse, eo quo dictum est modo: cognatos autem ossa abstulisse, atque humavisse juxta parentum reliquias, ante portam Hippadem sive equestrem: auctor Heliodorus libro De monumentis tertio. Nunc illud monumentum ignotum est vetustate collapsum. In dicendo ad populum fertur omnibus aliis præstitisse. Sunt qui eum ante Demosthenem ponant. Orationes ipsius feruntur septuaginta et septem, quarum germanæ sunt duæ supra quinquaginta. Fuit etiam in rem veneream proclivis, ita quidem ut filio ejecto introduxerit in domum suam scortum sumtuosissimum Myrrhinam: in Piræo habuerit Aristagoram: Eleusine in suis prædiis Philtam Thebanam, viginti minis redemtam. Deambulavit in foro piscario

ὁσημέραι. Ὡς εἰκὸς δὲ καὶ δίκῃ Φρύνῃ τῇ ἑταίρᾳ ἀσεβεῖν κρινομένῃ συνεξητάσθη· αὐτὸς γὰρ τοῦτο ἐν ἀρχῇ τοῦ λόγου δηλοῖ· μελλούσης δὲ αὐτῆς ἁλίσκεσθαι, παραγαγὼν εἰς μέσον καὶ περιῤῥήξας τὴν ἐσθῆτα, ἐπέδειξε τὰ στέρνα τῆς γυναικός· καὶ τῶν δικαστῶν εἰς τὸ κάλλος ἀπιδόντων, ἀφείθη. E Συνετίθει δὲ ἡσυχῇ κατὰ τοῦ Δημοσθένους ἐγκλήματα, ὡς καὶ φωραθῆναι· νοσοῦντος γὰρ τοῦ Ὑπερείδου ἥκοντα εἰς τὴν οἰκίαν τὸν Δημοσθένη, ὡς ἐπισκεψόμενον, καταλαβεῖν κατέχοντα τὸ κατ' αὐτοῦ F βιβλίον· τούτου δὲ ἀγανακτοῦντος εἶπε, "Φίλον μὲν ὄντα "οὐδένα λυπήσει, ἐχθρὸν δὲ γενόμενον κωλύσει τι "κατ' ἐμοῦ πρᾶξαι." Ἐψηφίσατο δὲ καὶ τιμὰς Ἰόλᾳ τῷ δόντι Ἀλεξάνδρῳ τὸ φάρμακον δοῦναι. Ἐκοινώνησε δὲ καὶ Δημοσθένει τοῦ Λαμιακοῦ πολέμου, καὶ ἐπὶ τοῖς πεσοῦσιν εἶπε τὸν ἐπιτάφιον θαυμασίως. Φιλίππου δὲ πλεῖν ἐπ' Εὐβοίας παρεσκευασμένου, καὶ τῶν

E. 6. συνετίθει] Sic Ald. Baf. Xyl. Vulgo, συνετέθη.
F. 4. δοῦναι] Deleam cum Phot. et Mez.

Conjectura fert, in eum etiam una cum Phryna meretrice impietatis accusata fuisse inquisitum: id enim ipse initio orationis significat. Illam, cum jamjam damnanda esset, in medium produxit, ac derepta veste pectus mulieris ostentavit: ita judicibus pulchritudinem respicientibus ea absoluta fuit. Composuit paulatim crimina, quæ Demostheni intentaret: nec fefellit: cum enim ægrotantem ipsum Demosthenes visendi gratia accessisset, deprehendit eum tenentem librum in se scriptum: cumque indignaretur, respondit Hyperides, *Hic liber neminem amicum lædet, inimicum autem factum prohibebit quicquam adversus me agere.* Honores etiam decrevit Iolæ, qui Alexandro venenum dedit. Socius fuit Leosthenei in Lamiaco bello conflando: in eoque occisos funebri oratione admirabili celebravit. Cum Philippus classem instruxisset ad petendam Eubœam, et A-

Ἀθηναίων εὐλαβῶς ἐχόντων, τεσσαράκοντα τριήρεις ἤθροισεν ἐξ ἐπιδόσεως, καὶ πρῶτος ὑπὲρ αὐτοῦ καὶ τοῦ παιδὸς ἐπέδωκε δύο τριήρεις. Συστάντος δὲ πρὸς Δηλίους ἀμφισβητήματος πότεροι δεῖ προΐστασθαι τοῦ ἱεροῦ, αἱρεθέντος Αἰσχίνου συνειπεῖν, ἡ ἐξ Ἀρείου πάγου βουλὴ Ὑπερείδην ἐχειροτόνησεν· καὶ ἔστιν ὁ λόγος Δηλιακὸς ἐπιγεγραμμένος. Ἐπρέσβευσε δὲ καὶ πρὸς Ῥοδίους. Ἡκόντων δὲ καὶ παρὰ Ἀντιπάτρου πρέσβεων, ἐπαινούντων τὸν Ἀντίπατρον ὡς χρηστόν, ἀπαντήσας αὐτοῖς εἶπεν, "Οἶδα μὲν "ὅτι χρηστὸς ὑπάρχει, ἀλλ' ἡμεῖς γε οὐ δεόμεθα "χρηστοῦ δεσπότου." Λέγεται δὲ ἄνευ ὑποκρίσεως δημηγορῆσαι, καὶ μόνον διηγεῖσθαι τὰ πραχθέντα, καὶ τούτοις οὐκ ἐνοχλεῖν τοὺς δικαστάς. Ἐπέμφθη δὲ καὶ πρὸς Ἠλείους B
ἀπολογησόμενος ὑπὲρ Καλλίππου τοῦ ἀθλητοῦ, ἔχοντες αἰτίαν φθεῖραι τὸν ἀγῶνα· καὶ ἐνίκησε. Γραψάμενος δὲ καὶ τὴν Φωκίωνος δωρεάν, ἣν εἶπε Μειδίας Μειδίου Ἀναγυράσιος ἐπὶ Ξενίου ἄρχοντος, Γαμηλιῶνος ἑβδόμῃ φθίνοντος, ἡττήθη.

thenienſes ſibi metuerent, Hyperides quadraginta triremes comparavit, privatim contribuentibus civibus: primuſque pro ſe et filio duas contulit in publicum triremes. Controverſia cum Deliis orta Athenienſibus, utri ſacris præeſſe deberent, Æſchine delecto ut cauſſæ Athenienſium patrocinaretur, Senatus Areopagitarum Hyperidem negotio ei deſtinavit: extatque oratio ejus, *Deliaca* inſcripta. Legationem quoque ad Rhodios obivit. Cum ab Antipatro legati veniſſent, laudarentque eum a bonitate, occurrens iis dixit, *Scimus Antipatrum eſſe bonum, ſed nobis quidem bono domino opus non eſt.* Dicitur abſque geſtu ad populum oraſſe: et rebus ut erant geſtæ narrandis contentum, judices non perturbaſſe. Miſſus eſt etiam ad Eleos, excuſandi Calliæ athletæ cauſſa, qui certaminis corrupti inſimulabatur: et obtinuit cauſſam. Cum autem ſententiam de donando Phocione a Midia Midiæ filio Anagyraſio latam accuſaſſet, ſuccubuit: actum hoc archonte Xenio, Gamelionis menſis die quarta et vigeſima.

ι.

ΔΕΙΝΑΡΧΟΣ.

Δείναρχος Σωκράτους ἢ Σωστράτου, ὡς μέν τινες, ἐγχώριος, ὡς δέ τισι δοκεῖ, Κορίνθιος, ἀφικόμενος εἰς Ἀθήνας C ἔτι νέος καθ' ὃν χρόνον Ἀλέξανδρος ἐπὶ τὴν Ἀσίαν, κατοικήσας αὐτόθι, ἀκροατὴς μὲν ἐγένετο Θεοφράστου τοῦ διαδεξαμένου τὴν Ἀριστοτέλους διατριβήν· ὡμίλησε δὲ καὶ Δημητρίῳ τῷ Φαληρεῖ, μάλιστα δὲ τῷ πολιτεύεσθαι μετὰ τὴν Ἀντιπάτρου τελευτήν, τῶν μὲν ἀνῃρημένων ῥητόρων, τῶν δὲ πεφευγότων. Φίλος δὲ Κασάνδρῳ γενόμενος, ὡς ἐπιπλεῖστον προέκοψε, χρήματα τῶν λόγων εἰσπραττόμενος, οὓς τοῖς δεομένοις συνέγραφεν· ἀντετάξατο δὲ πρὸς τοὺς ἐπιφανεστάτους τῶν ῥητόρων, οὐκ εἰς δῆμον παριών, οὐ γὰρ οἷός τε ἦν, ἀλλὰ τοῖς ἐναντιουμένοις λόγους συγγράφων· καὶ ἐπεὶ Ἅρπαλος διέδρα, πλείους λόγους συνέγραψε κατὰ τῶν αἰτίαν λαβόντων δωροδοκῆσαι, καὶ

C. 1. ἐπὶ τὴν Ἀσίαν] Forte, ἐπῄει τὴν Ἀσίαν, ut habuit codex Xyl. aut ex Phot. addendum διέβαινε.

C. 4. δὲ τῷ πολιτεύεσθαι] Mez. δὲ ἐπολιτεύσατο: aut addendum προσῄει.

X.

DINARCHUS.

Dinarchus Socratis ſive Soſtrati filius a quibuſdam Athenienſis perhibitus: ab aliis Corinthi natus, adoleſcens etiamnum Athenas ſe contulit, ibique ſedem poſuit: quo tempore Alexander Aſiam peragravit. Auditor fuit Theophraſti, ejus qui Ariſtoteli in ſchola ſucceſſit. Uſus etiam eſt conſuetudine Demetrii Phalerei: maxime in gerenda republica poſt mortem Antipatri verſatus, cum Oratorum alii necati eſſent, alii exſularent. Amicus autem Caſſandri cum eſſet, plurimum profecit pecunias pro orationibus exigendo, quas requirentibus conſcribebat. Adverſabatur autem nobiliſſimis Oratoribus, non ad populum dicendi cauſſa procedens, neque enim poterat, ſed orationes eorum adverſariis componens. Et poſtquam Harpalus profugit, complures ſcripſit orationes in eos, qui munerum acceptorum et

τούτους τοῖς κατηγόροις ἐξέδωκεν. Χρόνῳ δὲ ὕστερον αἰτια- D
θεὶς εἰς λόγους προσγίνεσθαι Ἀντιπάτρῳ καὶ Κασσάνδρῳ
περὶ τὴν κατάληψιν τῆς Μουνυχίας, ἡνίκα ὑπὸ Ἀν-
τιγόνου καὶ Δημητρίου ἐφρουρήθη ἐπ' Ἀναξικράτους ἄρ-
χοντος, ἐξαργυρισάμενος τὰ πλεῖστα τῆς οὐσίας, ἔφυγεν
εἰς Χαλκίδα. Διατρίψας δὲ ἐπὶ τῆς φυγῆς ὡς πεντε-
καίδεκα ἔτη, καὶ πολλὴν οὐσίαν κτησάμενος, κατῆλθε,
πραξάντων αὐτῷ τὴν κάθοδον τῶν περὶ Θεόφραστον ἅμα
τοῖς ἄλλοις φυγάσιν. Καταλύσας δὲ παρὰ Προξένῳ
ἑταίρῳ αὐτοῦ, καὶ τὸ χρυσίον ἀπολέσας, ἤδη γηραιὸς ὢν
καὶ τὰς ὁράσεις ἀσθενής, βουλομένου τοῦ Προξένου ἀναζη- E
τεῖν, λαγχάνει αὐτῷ δίκην, καὶ τότε πρῶτον εἶπεν ἐν
δικαστηρίῳ. Σώζεται δὲ αὐτοῦ καὶ ὁ λόγος. Φέρονται
δὲ αὐτοῦ καὶ λόγοι γνήσιοι ἑξήκοντα τέσσαρες· τούτων
ἔνιοι παραλαμβάνονται, ὡς Ἀριστογείτονος. Ζηλωτὴς
δὲ ἐγένετο Ὑπερείδου, ἤ, ὥς τινες, διὰ τὸ παθητικόν,

E. 1. βουλομένου] οὐ βουλομένου scribendum, assentior Xylandro.

corruptelæ rei habebantur. Postea temporis, objecto sibi crimine, quod cum Antipatro et Cassandro de occupanda Munychia rem composuisset, quando eam Antigonus et Demetrius præsidio tenuerunt, Anaxicrate archonte, maxima bonorum parte in pecuniam conversa, Chalcidem profugit: inque exsilio ad quindecim annos commoratus, reque aucta, in patriam rediit, Theophrasto ei aliisque exsulibus redeundi potestatem impetrante. Usus vero tum hospitio Proxeni amici sui, aurum amisit jam senex et visu debilitato: Proxenum, quod is inquirere de furto recusaret, in jus vocavit: tuncque primum in curia dixit: exstat ea oratio. Feruntur orationes ejus germanæ sexaginta et quatuor: quarum quædam putantur esse Aristogitonis. Æmulatus est Hyperidem: aut, ut nonnulli, ex animi

Δημοσθένους, καὶ τὸ σφόδρον· τῶν σχημάτων δ' αὐτοῦ μιμητὴς ὑπάρχει.

ΨΗΦΙΣΜΑΤΑ.

α'.

F Τιμοχάρης Λάχητος Λευκονεὺς αἰτεῖ Δημοσθένει τῷ Δημοσθένους Παιανιεῖ δωρεὰν εἰκόνα χαλκῆν ἐν ἀγορᾷ, καὶ σίτησιν ἐν πρυτανείῳ, καὶ προεδρίαν αὐτῷ, καὶ ἐγγόνων ἀεὶ τῷ πρεσβυτάτῳ· εὐεργέτῃ καὶ συμβούλῳ γεγονότι πολλῶν καὶ καλῶν τῷ δήμῳ τῷ Ἀθηναίων, καὶ τήν τε οὐσίαν εἰς τὸ κοινὸν καθεικότι τὴν ἑαυτοῦ, καὶ ἐπιδόντι τάλαντα ὀκτὼ καὶ τριήρη, ὅτε ὁ δῆμος ἠλευθέρωσεν Εὔβοιαν· καὶ ἑτέραν, ὅτε εἰς Ἑλλήσποντον Κηφισόδωρος ἐξέπλευσε·
51 καὶ ἑτέραν, ὅτε Χάρης καὶ Φωκίων στρατηγοὶ ἐξεπέμφθησαν εἰς Βυζάντιον ὑπὸ τοῦ δήμου· καὶ λυτρωσαμένῳ πολλοὺς τῶν ἁλόντων ἐν Πύδνῃ καὶ Μεθώνῃ καὶ Ὀλύνθῳ ὑπὸ Φιλίππου· καὶ χορηγίαν ἀνδράσιν ἐπιδόντι, ὅτε ἐκλειπόν-

F. 1. Λευκονεὺς] Ita Xyl. ut infra omnes libri: forma frequentior est Λευκονοιεύς. Vulgo, Λευκονοθεύς.

gravioribus motibus, vehementia, ac figuris colligunt, Demosthenem.

DECRETA.

I.

Demochares Lachetis filius Leuconensis postulat, Demostheni Demosthenis filio Pæaniensi dari hoc donum: ut ærea ei ponatur in foro statua, cibus detur in Prytaneo, ac princeps in consessu locus ipsi, et posterorum subinde ei qui natu est maximus. Multa enim beneficia in Populum Atheniensem contulit, sæpe consilio eum juvit, patrimoniumque suum in rempublicam contulit: talenta octo et triremem suppeditavit, quando Populus Atheniensis liberavit Eubœam: iterum triremem, quando Cephisodorus in Hellespontum navigavit: aliam, quando Chares et Phocion prætores a Populo Byzantium sunt missi: redemit pretio multos Pydnæ, Methonæ, et Olynthi, captos a Philippo: sumtus in chorum se-

τῶν τῶν Πανδιονιδῶν τῶν χορηγῶν, ἐπέδωκε, καὶ καθώπλισε τοὺς πολίτας τῶν ἐλλειπόντων· καὶ εἰς τὴν τειχοποιΐαν ἀνάλωσε, χειροτονηθεὶς ὑπὸ τοῦ δήμου, ἐπιδόντος αὐτοῦ τρία τάλαντα· καὶ ἃς ἐπέδωκε δύο τάφρους περὶ τὸν Πειραιᾶ ταφρεύσας· καὶ μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην ἐπέδωκε τάλαντον· καὶ εἰς τὴν σιτωνίαν ἐπέδωκεν ἐν τῇ σι- B
τοδείᾳ τάλαντον· καὶ ὅτι εἰς συμμαχίαν τὸν δῆμον προσηγάγετο πείσας καὶ εὐεργέτης γενόμενος καὶ σύμβουλος, δι' ὧν ἔπεισεν Θηβαίους, Εὐβοεῖς, Κορινθίους, Μεγαρέας, Ἀχαιοὺς, Λοκροὺς, Βυζαντίους, Μεσσηνίους, καὶ δυνάμεις ἃς συνεστήσατο τῷ δήμῳ καὶ τοῖς συμμάχοις, πεζοὺς μὲν μυρίους, ἱππέας δὲ χιλίους, καὶ σύνταξιν χρημάτων ἣν ἔπεισε πρεσβεύσας δίδοναι, τοὺς μὲν συμμάχους εἰς τὸν πόλεμον πλείω πεντακοσίων ταλάντων· καὶ ὡς ἐκώλυσε Πελοποννησίους ἐπὶ Θήβας Ἀλεξάνδρῳ βοηθῆσαι, χρήματα δοὺς, καὶ αὐτὸς πρεσβεύσας· καὶ ἄλλων πολλῶν καὶ καλῶν τῷ δήμῳ συμβούλῳ γενομένῳ καὶ πεπολιτευμένῳ C
τῶν καθ' ἑαυτὸν πρὸς ἐλευθερίαν καὶ δημοκρατίαν ἄριστα·

cit, cum Pandionidis deficientibus ea res cessaret: largitus etiam est et armavit cives indigos: in muri confectionem sumtus fecit trium talentorum, ad hoc munus a Populo delectus: iterum de suo insumsit, cum duabus fossis Piræum cingeret. Post Chæronensem pugnam talentum in publicum contulit: aliud in frumentationem, in penuria. Benefaciendo, consulendo, persuadendo ad societatem populi Atheniensis pertraxit Thebanos, Euboënses, Corinthios, Megarenses, Achæos, Locros, Byzantios, Messenios: copias Populo ac sociis contraxit, peditum decem millia, equitum mille. Item pecuniæ collationem ad bellum legatus impetravit a sociis, amplius quingentis talentis: legatus data pecunia obtinuit a Peloponnesiis, ne Alexandro ad Thebas auxilia mitterent. Multa alia præclara et utilia præstitit consulendo et rempublicam gerendo, ita ut nemo æqualium de libertate et imperio Populi tantum sit pro-

φυγόντι δὲ δι' ὀλιγαρχίαν καταλυθέντος τοῦ δήμου, καὶ τελευτήσαντος αὐτοῦ ἐν Καλαβρίᾳ, διὰ τὴν πρὸς τὸν δῆμον εὔνοιαν, πεμφθέντων στρατιωτῶν ἐπ' αὐτὸν ὑπὸ Ἀντιπάτρου, διαμείναντι ἐν τῇ πρὸς τὸ πλῆθος εὐνοίᾳ καὶ οἰκειότητι, καὶ οὔτε ὑποχειρίῳ γενομένῳ τοῖς ἐχθροῖς, οὔτι ἀνάξιον ἐν τῷ κινδύνῳ πράξαντι τοῦ δήμου.

β'.

Ἄρχων Πυθάρατος. Λάχης Δημοχάρους Λευκονεὺς αἰτεῖ δωρεὰν τὴν βουλὴν καὶ τὸν δῆμον τῶν Ἀθηναίων Δημοχάρει Λάχητος Λευκονεῖ, εἰκόνα χαλκῆν ἐν ἀγορᾷ καὶ σίτησιν ἐν πρυτανείῳ, καὶ τῶν ἐγγόνων ἀεὶ τῷ πρεσβυτάτῳ, καὶ προεδρίαν ἐν πᾶσι τοῖς ἀγῶσιν, εὐεργέτῃ καὶ συμβούλῳ γεγονότι ἀγαθῷ τῷ δήμῳ τῶν Ἀθηναίων, καὶ εὐεργετηκότι τὸν δῆμον τάδε· πρεσβεύοντι, καὶ γράφοντι καὶ πολιτευομένῳ, οἰκοδομὴν τειχῶν, παρασκευὴν ὅπλων καὶ βελῶν καὶ μηχανημάτων, καὶ ὀχυρωσαμένῳ τὴν πόλιν ἐπὶ τοῦ τετραετοῦς πολέμου, καὶ εἰρήνην καὶ ἀνοχὰς

C. 4. Καλαβρίᾳ] Ald. Baſ. Xyl. Καλαυρίᾳ: idque repoſuiſſem, niſi ſupra conſtanter alteram ſcripturam retinuiſſent libri.
C. 8. οὔτι ἀνάξιον] Legendum, οὔτε τι ἀνάξιον, cum Mez.

meritus. Cumque imperio Populi everſo ob paucorum in republica potentiam exſularet, mortuus eſt in Calauria, ob benevolentiam erga Populum immiſſis ei ab Antipatro militibus, perſeverans in ſtudio et amicitia Populi: et neque in manus pervenit, neque in extremo periculo quicquam Populo indignum fecit.

II.

Archon Pytharatus. Laches Democharis filius Leuconenſis a Senatu et Populo Athenienſi poſtulat dari hoc donum Demochari Lachetis filio Leuconenſi, ut ærea ei in foro ponatur ſtatua, cibus in Prytaneo ipſi et ſubinde poſteritatis ejus natu maximo, primus conſeſſus locus in omnibus certaminibus. Quia bene et fecit et conſuluit Populo, hæcque in eum beneficia contulit: legationes obivit, rogationes tulit, rempublicam geſſit, murum refecit, arma, tela, machinaſque paravit, munivit urbem ſub bel-

καὶ συμμαχίαν ποιησαμένῳ πρὸς Βοιωτούς· ἀνθ' ὧν ἐξέπεσεν ὑπὸ τῶν καταλυσάντων τὸν δῆμον· καὶ ὡς κατῆλθεν ἐπὶ Διοκλέους ἄρχοντος ὑπὸ τοῦ δήμου, συστείλαντι τὴν διοίκησιν πρώτῳ, καὶ φεισαμένῳ τῶν ὑπαρχόντων, καὶ πρεσβεύσαντι πρὸς Λυσίμαχον, καὶ λαβόντι τῷ δήμῳ τριάκοντα τάλαντα ἀργυρίου, καὶ πάλιν ἕτερα ἑκατόν· καὶ γράψαντι πρεσβείαν πρὸς Πτολεμαῖον εἰς Αἴγυπτον, καθ' ἣν ἐκπλεύσαντες πεντήκοντα ἐκόμισαν τάλαντα ἀργυρίου τῷ δήμῳ· καὶ πρὸς Ἀντίπατρον πρεσβεύσαντι καὶ λαβόντι εἴκοσι τάλαντα ἀργυρίου καὶ Ἐλευσίνια κομισαμένῳ τῷ δήμῳ, καὶ ταῦτα πείσαντι ἑλέσθαι τὸν δῆμον καὶ πράξαντι, καὶ φυγόντι μὲν ὑπὸ δημοκρατίας, μετεσχηκότι δὲ οὐδεμιᾶς ὀλιγαρχίας, οὐδὲ ἀρχὴν οὐδεμίαν ἤρχοντι καταλελυκότος τοῦ δήμου· καὶ μόνῳ Ἀθηναίων τῶν κατὰ τὴν αὐτὴν ἡλικίαν πολιτευσαμένων, μὴ μεμελετηκότι τὴν πατρίδα κινεῖν ἑτέρῳ πολιτεύματι

E. 4. φεισαμένῳ—πρεσβεύσαντι] Sumsi a Mez. Salmas. in priori consentit P. Vulgo, φεισαμένων—πρεσβευσάντων.
E. 10. καὶ Ἐλευσίνια] Amiot. καὶ Ἐλευσινάδε, et cum antecedentibus jungit.
F. 2. ὑπὸ δημοκρατίας] Xyl. et Mez. corrigunt, ὑπὲρ δημοκρατίας: recte.

lum quatuor annorum: pacem, inducias, societatemque cum Bœotis composuit. Ob hæc ejectus urbe fuit ab iis qui Populi potestatem everterunt. Reversus archonte Diocle, Populo revocante, contraxit sumtus publicos, iisque parsimonia consuluit. Lysimachum legatus adiit, Populo triginta talenta impetravit, ac rursum centum: auctor fuit legationis ad Ptolemæum mittendæ, qua functi populo quinquaginta talenta attulerunt: legatus ad Antipatrum ivit, ac viginti argenti talenta confecit, et ad Eleusinia Populo attulit. Hæc omnia egit consensu Populi, et propter hujus in republica imperium exsulavit, nihil cum ulla paucorum dominatione commune habuit, neque Populo oppresso ullum gessit magistratum: solus omnium sua ætate Atheniensium qui rempublicam gessissent, nulla alia quam popu-

τῇ δημοκρατίᾳ· καὶ τὰς κρίσεις, καὶ τοὺς νόμους, καὶ τὰ δι-
καστήρια, καὶ τὰς οὐσίας πᾶσιν Ἀθηναίοις ἐν ἀσφαλεῖ
ποιήσαντι διὰ τῆς αὐτοῦ πολιτείας, καὶ μηδὲν ὑπεναν-
τίον τῇ δημοκρατίᾳ πεπραχότι μήτε λόγῳ μήτε ἔργῳ.

γʹ.

Λυκόφρων Λυκούργου Βουτάδης ἀπεγράψατο αὐτῷ εἶναι σί-
52 τησιν ἐν πρυτανείῳ κατὰ τὴν δοθεῖσαν δωρεὰν ὑπὸ τοῦ δήμου Λυ-
κούργῳ Βουτάδῃ ἐπὶ Ἀναξικράτους ἄρχοντος, ἐπὶ τῆς Ἀντιοχί-
δος ἐν τῇ πρυτανείᾳ. Στρατοκλῆς Εὐθυδήμου Διομιδεὺς
εἶπεν. Ἐπειδὴ Λυκοῦργος Λυκόφρονος Βουτάδης παρα-
λαβὼν παρὰ τῶν ἑαυτοῦ προγόνων οἰκείαν ἐκ παλαιοῦ τὴν
πρὸς τὸν δῆμον εὔνοιαν, καὶ οἱ πρόγονοι οἱ Λυκούργου,
Διομήδης τε καὶ Λυκοῦργος, καὶ ζῶντες ἐτιμῶντο ὑπὸ τοῦ
δήμου, καὶ τετελευτηκόσιν αὐτοῖς δι᾽ ἀνδραγαθίαν ἔδω-
κεν ὁ δῆμος δημοσίας ταφὰς ἐν Κεραμεικῷ· καὶ Λυκοῦρ-
γος αὐτὸς πολιτευόμενος, νόμους τε πολλοὺς καὶ καλοὺς
B ἔθηκε τῇ πατρίδι, καὶ γενόμενος τῆς κοινῆς προσόδου τα-

lari adminiſtratione rempublicam commovit, judicia, leges, bona, omnibus Athenienſibus in tuto collocavit ſua opera: neque contra Populi in republica principatum quidquam facto dictove egit.

III.

Lycophron Lycurgi filius Butades retulit de cibo ſibi in Prytaneo dando, ſecundum donum quo Populus ornavit Lycurgum Butadem Anaxicrate archonte in præſidio Antiochidis tribus. Stratocles Euthydemi filius Diomienſis pronunciavit. Quandoquidem Lycurgus Lycophronis filius Butades a majoribus ſuis propagatam ſuſcepit erga Populum benevolentiam: ejuſque majores Diomedes et Lycurgus cum vivi in honore apud Populum fuerunt, tum mortuis ob virtutem Populus publicam in Ceramico ſepulturam conceſſit: et Lycurgus ipſe rempublicam gerens, multas bonaſque patriæ leges tulit, et publicorum redituum quæſtor

μίας τῇ πόλει, ἐπὶ τρεῖς πενταετηρίδας, καὶ διανείμας
ἐκ τῆς κοινῆς προσόδου μύρια καὶ ὀκτακισχίλια καὶ ἐνακόσια
τάλαντα· πολλὰ δὲ τῶν ἰδιωτῶν διὰ πίστεως λαβὼν, καὶ
προδανείσας καὶ εἰς τοὺς τῆς πόλεως καιρούς· καὶ τοῦ δήμου
τὰ πάντα ἑξακόσια καὶ πεντήκοντα τάλαντα· δόξας δὲ
ἅπαντα ταῦτα δικαίως διῳκηκέναι, πολλάκις ἐστεφανώθη
ὑπὸ τῆς πόλεως· ἔτι δὲ αἱρεθεὶς ὑπὸ τοῦ δήμου, χρήματα
πολλὰ συνήγαγεν εἰς τὴν ἀκρόπολιν, καὶ παρασκευάσας τῇ
θεῷ κόσμον, νίκας τε ὁλοχρύσους, πομπεῖά τε χρυσᾶ
καὶ ἀργύρεα, καὶ κόσμον χρυσοῦν εἰς ἑκατὸν κανηφόρους· C
χειροτονηθεὶς δὲ ἐπὶ τῆς τοῦ πολέμου παρασκευῆς ὅπλα
μὲν πολλὰ καὶ βελῶν μυριάδας πέντε ἀνήνεγκεν εἰς τὴν
ἀκρόπολιν· τετρακοσίας τριήρεις πλωΐμους κατεσκεύασε,
τὰς μὲν ἐπισκευάσας, τὰς δὲ ἐξ ἀρχῆς ναυπηγησάμενος· πρὸς δὲ τούτοις, ἡμίεργα παραλαβὼν τούς τε νεω-

B. 2. ἐπὶ τρεῖς] Ita repoſui ex p. 841. B. poſt Mez. et Taylor. Vulgo, ἐπὶ τριετεῖ.

B. 3. μυρία καὶ ὀκτακισχίλια—καὶ πεντήκοντα τάλαντα] Aliquid aut vitii aut difficultatis ſubeſt; de quo in Animadverſ. dicetur.

factus per tria quinquennia eos procuravit: diſtribuitque e communibus reditibus duodeviginti millia, et inſuper noningenta, talenta: multam etiam privatorum pecuniam fide mutuoque accepit opportuno urbis et civium tempore, in univerſum ſexcenta et quinquaginta talenta, omnia creditus eſt juſte diſpenſaſſe, ideoque aliquoties coronatus eſt a civitate: præterea delectus a Populo multum pecuniæ in arcem conduxit, Deæque apparavit ornatum, victorias ex ſolido auro, pomparum vaſa aurea et argentea, mundumque aureum ad Canephoras centum: præfectus etiam bellico apparatui arma multa, et jaculorum quinquaginta millia in arcem retulit, quadringentas triremes ad navigandum inſtruxit, aliis adornatis, aliis de integro fabricatis: porro cum imperfecta inveniſſet navalia, armamentarium,

σοίκους καὶ τὴν σκευοθήκην, καὶ τὸ θέατρον τὸ Διονυσιακὸν ἐξειργάσατο, καὶ ἐπετέλεσε τό τε στάδιον τὸ Παναθηναϊκὸν, καὶ τὸ γυμνάσιον καὶ τὸ Λύκειον κατεσκεύασεν, καὶ ἄλλαις πολλαῖς κατασκευαῖς ἐκόσμησε τὴν πόλιν· Ἀλεξάνδρου τε τοῦ βασιλέως ἅπασαν μὲν τὴν Ἀσίαν κατεστραμμένου,
D κοινῇ δὲ πᾶσι τοῖς Ἕλλησιν ἐπιτάττειν ἀξιοῦντος, ἐξαιτήσας Λυκοῦργον, ὡς ἐναντία πράττοντος αὐτοῦ, οὐκ ἐξέδωκεν ὁ δῆμος παρ' Ἀλεξάνδρου φόβον· καὶ διδοὺς εὐθύνας πολλάκις τῶν πεπολιτευμένων ἐν ἐλευθέρᾳ καὶ δημοκρατουμένῃ τῇ πόλει, διετέλεσεν ἀνεξέλεγκτος καὶ ἀδωροδόκητος τὸν ἅπαντα χρόνον· ὅπως ἂν εἰδῶσι πάντες διότι τοὺς προαιρουμένους ὑπὲρ τῆς δημοκρατίας καὶ τῆς ἐλευθερίας δικαίως πολιτεύεσθαι, καὶ ζῶντας μὲν περὶ πλεῖστον ποιοῦνται, καὶ τελευτήσασι δὲ ἀποδίδωσι χάριτας ἀειμνήστους· ἀγαθῇ τύχῃ δεδόχθαι τῷ δήμῳ, ἐπαινέσαι μὲν Λυ-
E κοῦργον Λυκόφρονος Βουτάδην ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης,

D. 1. ἐξαιτήσας] Legendum, ἐξαιτήσαντος, cum Mez. et Taylor.
D. 2. πράττοντος αὐτοῦ] Rectius Mez. πράττοντα αὐτῷ.
D. 3. παρ' Ἀλεξάνδρου φόβον] Legendum, διὰ τὸν παρ' Ἀλεξάνδρου φόβον.
D. 8. περὶ πλεῖστον] Rectius περὶ πλείστου. Mez.

ac Liberi patris theatrum, absolvit ea: nec non stadium perfecit Panathenaicum, gymnasium, Lyceum: multisque aliis structuris urbem exornavit: cum vero Alexander rex, tota Asia subacta, imperium in omnes Græcos sibi sumens, Lycurgum sibi dedi juberet, ut qui contra ipsum egisset, Populus non dedidit eum metu Alexandri: sæpenumero etiam rationem reipublicæ gestæ reddens in libera civitate, et in qua summa rerum penes Populum esset, nunquam ullius fraudis aut corruptelæ compertus est: Ergo ut omnibus constaret eos qui pro principatu Populi et libertate juste volunt rempublicam gerere, cum vivos maximi fieri, tum mortuis honores haberi ad omnem memoriam duraturos; quod felix faustumque sit, scivit Populus laudandum esse Lycurgum Lycophronis filium Butadem virtutis ac jus-

καὶ στῆσαι αὐτοῦ τὸν δῆμον χαλκῆν εἰκόνα ἐν ἀγορᾷ, πλὴν εἴ που ὁ νόμος ἀπαγορεύει μὴ ἱστάναι, δοῦναι δὲ σίτησιν ἐν πρυτανείῳ τῶν ἐγγόνων ἀεὶ τῶν Λυκούργου τῷ πρεσβυτάτῳ εἰς ἅπαντα τὸν χρόνον, ἀναθεῖναι δ' αὐτοῦ καὶ εἶναι κύρια πάντα τὰ ψηφίσματα τὸν γραμματέα τοῦ δήμου ἐν στήλαις λιθίναις, καὶ στῆσαι ἐν ἀκροπόλει πλησίον τῶν ἀναθημάτων· εἰς δὲ τὴν ἀναγραφὴν τῶν στηλῶν δοῦναι τὸν ταμίαν τοῦ δήμου πεντήκοντα δραχμὰς, ἐκ τῶν εἰς τὰ ψηφίσματα ἀναλισκομένων τῷ δήμῳ.

titiæ caussa: eique a Populo statuendam æream imaginem in foro, nisi sicubi lex eam stare vetat: dandumque in Prytaneo cibum ad omnem posteritatem quovis tempore ei qui ipsius de propagine natu sit maximus: omnia ejus decreta rata habenda, et a scriba civitatis insculpta in lapideas columnas debere dedicari in arce, ac poni prope donaria: ad columnarum scriptionem quæstorem Populi debere pendere quinquaginta drachmas, ex ea pecunia quam Populus in decreta impendit.

ΠΛΟΥΤΑΡΧΟΥ

ΣΥΓΚΡΙΣΕΩΣ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΚΑΙ ΜΕΝΑΝΔΡΟΥ ΕΠΙΤΟΜΗ.

ΠΛΟΥΤΑΡΧΟΥ

ΣΥΓΚΡΙΣΕΩΣ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΚΑΙ ΜΕΝΑΝΔΡΟΥ ΕΠΙΤΟΜΗ.

EPITOME

LIBRI PLUTARCHEI

DE

COMPARATIONE ARISTOPHANIS ET MENANDRI.

α'. ΩΣ μὲν κοινῶς καὶ καθόλου εἰπεῖν, πολλῷ προκρίνει τὸν Μένανδρον· ὡς δὲ ἐπὶ μέρους, καὶ
B ταῦτα προσεπιτίθησι. Τὸ φορτικόν, φησίν, ἐν λόγοις καὶ θυμελικὸν καὶ βάναυσον ὥς ἐστιν Ἀριστοφάνει, Μενάνδρῳ δὲ οὐδαμῶς. Καὶ γὰρ ὁ μὲν ἀπαίδευτος καὶ ἰδιώτης οἷς ἐκεῖνος λέγει, ἁλίσκεται· ὁ δὲ πεπαιδευμένος, δυσχερανεῖ· λέγω δὲ τὰ ἀντίθετα καὶ ὁμοιόπτωτα καὶ παρωνυμίας.

B. 1. προσεπιτίθησι] Sic B. E. Vulgo, προτίθησι.

I. UNIVERSE ut dicam, multo præfert Menandrum. Singulatim autem hæc adjicit. Genus dicendi tumidum, scurrile, atque illiberale Aristophanem usurpasse, Menandrum neutiquam. Indoctus enim aliquis et plebeius illius oratione capitur, doctus offenditur: loquor de antithetis, similiter cadentibus, et paronymiis: quibus Menander

Τούτοις γὰρ ὁ μὲν μετὰ τοῦ προσήκοντος λόγου καὶ ὀλιγάκις χρῆται, ἐπιμελείας αὐτὰ ἀξιῶν· ὁ δὲ, καὶ πολλάκις, καὶ οὐκ εὐκαίρως, καὶ ψυχρῶς· ἐπαινεῖται γὰρ, φησὶν, ὅτι τοὺς ταμίας ἐβάπτισεν, οὐχὶ ταμίας ἀλλὰ Λαμίας ὄντας· καὶ,

——οὗτος ἤτοι κακίας ἢ συκοφαντίας πνεῖ·

καὶ,

Γαστρὶ ζῆ καὶ τοῖς ἐντέροις καὶ τοῖς κώλοις·

καὶ,

Ὑπὸ γέλωτος εἰς τὸ γελᾷν ἀφίξομαι·

καὶ,

Τί δέ σοι δράσω κακόδαιμον ἀμφορεὺς ἐξοστρακισθείς·

καὶ,

Ἄγρια γὰρ ἡμᾶς, ὦ γυναῖκες, δρᾷ κακὰ,
Ἅτε ἐν ἀγρίοις τοῖς λαχάνοις αὐτὸς τραφείς·
Ἀλλ' αἱ τριχόβρωτες τὸν λόφον μου κατέφαγον·

C. 1. κακίας] Aristoph. Equ. 435, Καικίας corrigendum monuit Kusterus: et correxit Brunckius, Ὡς οὗτος ἤδη Καικίας καὶ συκοφαντίας πνεῖ. Nostri libri in vulgata consentiunt.

C. 3. Γαστρὶ ζῆ] Ita omnes libri nostri. Rectius apud Comicum Equ. 457. Γαστρίζε καὶ τοῖς ἐντέροις, καὶ τοῖς κόλοις.

C. 5. εἰς τὸ γελᾷν] Mez. eleganter corrigit εἰς Γέλαν. Itaque jam verterat Xyl.

C. 9. δρᾷ] Recepi, pro vulgato ἄρα, ex loco Comici Thesmoph. 462. Reliqua nolui mutare.

C. 11. τριχόβρωτες] Sic Steph. ex T. et sane diserte exstat in Exemplo Turnebi. Omnes reliqui libri Ald. Bas. Xyl. B. E. Venet. τριχοῦός ρυχες. Illud ex ipso petitum Comici loco Acharn. 1110.

raro et cum ratione utitur atque accurate: alter crebro, et intempestive ac frigide. Laudatur enim, inquit, quod *tamias* submersit, non *tamiæ*, id est promicondi, sed *lamiæ* seu striges quod essent: atque

Hic sive malitiam sive sycophantiam spirat:

et,

Ventre tunde, intestinis, artubus:

et,

Præ risu ad Gelan perveniam:

et,

Quid tibi faciam misera amphora exostracisata:

et,

Agrestia enim nobis, O mulieres, infert mala,
Quippe ipse in agrestibus enutritus oleribus:

et,

Nisi crinivori cristas meas exederint:

id est, pediculi verticem meum exederint. Item,

Φέρε δεῦρο γοργόνωτον ἀσπίδος κύκλον·
Κἀμοὶ πλακοῦντος γυρόνωτον δὸς κύκλον·

πολλὰ τοιαῦτα. Ἔνεστι μὲν οὖν ἐν τῇ κατασκευῇ ομάτων αὐτοῦ τὸ τραγικὸν, τὸ κωμικὸν, τὸ σοβαρὸν, πεζὸν, ἀσάφεια, κοινότης, ὄγκος καὶ διάρμα, σπεργία καὶ φλυαρία ναυτιώδης. Καὶ τοσαύτας διακὰς ἔχουσα καὶ ἀνομοιότητας ἡ λέξις, οὐδὲ τὸ πρέπον τῇ καὶ οἰκεῖον ἀποδίδωσιν· οἷον λέγω βασιλεῖ τὸν ὄγκον, ι τὴν δεινότητα, γυναικὶ τὸ ἁπλοῦν, ἰδιώτῃ τὸ ὸν, ἀγροίκῳ τὸ φορτικόν· ἀλλ' ὥσπερ ἀπὸ κλήρου νέμει τοῖς προσώποις τὰ προστυχόντα τῶν ὀνομάτων· οὐκ ἂν διαγνοίης εἴτε υἱός ἐστιν, εἴτε πατὴρ, εἴτε ικος, εἴτε θεὸς, εἴτε γραῦς, εἴτε ἥρως, ὁ διαλεγός.

β'. Ἡ δὲ Μενάνδρου φράσις οὕτω συνέξεσται καὶ πέπνευκε κεκραμένη πρὸς ἑαυτὴν, ὥστε διὰ πολ-

. γυρόνωτον] Apud Aristoph. Acharn. 1124. est τυρόνωτον, verius, puto: licet nostrum probet Kusterus.

.. *Fer Gorgonitergum huc aspidis mihi circulum.*
. *Mihi placentæ caseitergum orbem cedo.*

taque id genus alia. Hanimirum in apparatu verum aliquid tragicum, neccomicum, protervum, pe-e, obscuritatem, commutem, fastum, elationem, locitatem, nugas quæ nau-i cieant. Cumque dictio tantum habeat dissimilitus et inæqualitatis, ne deum quidem singulis generibus et suum accommodavit locum: verbi gratia, regi fastum, oratori vim dicendi, mulieri simplicitatem, pedestrem sermonem plebeio, insolentem forensi: sed, veluti sorte, personis vocabula, ut occurrebat unumquodque, attribuit; ut dignoscere non possis filiusne loquatur, an pater, rusticus, deus, anus, heros.

II. At Menandri ita dolata est, itaque inter se conspirat contemperata dictio, ut cum per tam varios omnis generis

λῶν ἀγομένη παθῶν καὶ ἠθῶν, καὶ προσώποις ἐφαρμόττουσα παντοδαποῖς, μία τε φαίνεσθαι, καὶ τὴν ὁμοιότητα τηρεῖν ἐν τοῖς κοινοῖς καὶ συνήθεσι καὶ ὑπὸ τὴν χρείαν ὀνόμασιν· ἐὰν δέ τινος ἄρα τερατείας εἰς τὸ πρᾶγμα καὶ ψόφου δεήσῃ, καθάπερ αὐλοῦ πάντρητον ἀνασπάσας, ταχὺ πάλιν καὶ πιθανῶς ἐπέβαλε, καὶ κατέστησε τὴν φωνὴν εἰς τὸ οἰκεῖον. Πολλῶν δὲ γεγονότων εὐδοκίμων τεχνιτῶν, οὔτε ὑπόδημα δημιουργὸς, οὔτε προσωπεῖον σκευοποιὸς, οὔτε τις ἱμάτιον ἅμα ταυτὸν ἀνδρὶ καὶ γυναικὶ καὶ μειρακίῳ καὶ γέροντι καὶ οἰκότριβι πρέπον ἐποίησεν· ἀλλὰ Μένανδρος οὕτως ἔδειξε τὴν λέξιν, ὥστε F πάσῃ καὶ φύσει καὶ διαθέσει καὶ ἡλικίᾳ σύμμετρον εἶναι· καὶ ταῦτα νέος μὲν ἔτι τοῦ πράγματος ἁψάμενος, ἐν ἀκμῇ δὲ τοῦ ποιεῖν καὶ διδάσκειν τελευτήσας, ὅτε μάλιστα καὶ πλείστην ἐπίδοσιν, ὡς Ἀριστοτέλης φησὶν, λαμβάνει τὰ περὶ τὴν λέξιν τοῖς γράφουσιν. Εἰ οὖν πρὸς τὰ πρῶτα τῶν Μενάνδρου δραμάτων τὰ μέσα καὶ τὰ

E. 2. ὁμοιότητα] Forte, ὁμαλότητα, quod vertendo reddidit Xyl.

motus animorum ducatur, et omnigenis accommodetur perſonis, unica tamen videatur, æquabilitatemque perſervet ſuam in vulgatis uſitatiſque vocabulis. Quod ſi alicubi res præſtigiarum aliquid ſtrepituſve requirat, tibicines ſolertes imitatur, qui omnibus tibiæ apertis foraminibus, mox vocem artificioſe in ſuam reſtituunt ſedem. Tametſi autem multi fuerunt præclari opifices, nullus tamen calceum, larvam, aut veſtem fecit, quæ ſimul viro, mulieri, adoleſcenti, ſeni, ac vernæ conveniret. At Menander tali eſt ſermone uſus, qui congrueret cuivis naturæ, ſtatui, ætati: cum quidem et juvenis ſe ad eam rem contuliſſet, et in ipſo vigore ſcribendi ac docendi fabulas mortuus ſit: quando maxime ſcribentes incrementa facere ad elocutionis virtutem, Ariſtoteles teſtatur. Si quis vero primas Menandri

τελευταῖα παραβάλοι τις, ἐξ αὐτῶν ἐπιγνώσεται ὅσα ἔμελλεν, εἰ ἐπεβίω, καὶ τούτοις ἕτερα προσθήσειν.

854. γ'. Ὅτι τῶν διδασκόντων οἱ μὲν πρὸς τὸν ὄχλον καὶ τὸν δῆμον γράφουσιν, οἱ δὲ τοῖς ὀλίγοις· τὸ δὲ ἐν ἀμφοῖν ἁρμόττον τοῖς γένεσιν οὐ ῥᾴδιον ὅτῳ τῶν πάντων ὑπῆρξεν εἰπεῖν. Ἀριστοφάνης μὲν οὖν οὔτε τοῖς πολλοῖς ἀρεστὸς, οὔτε τοῖς φρονίμοις ἀνεκτὸς, ἀλλ' ὥσπερ ἑταίρας τῆς ποιήσεως παρηκμακυίας, εἶτα μιμουμένης γαμετὴν, οὔτε οἱ πολλοὶ τὴν αὐθάδειαν περιμένουσιν, οἵ τε σεμνοὶ βδελύττονται τὸ ἀκόλαστον καὶ κακόηθες. Ὁ δὲ Μένανδρος μετὰ χαρίτων μάλιστα ἑαυτὸν αὐτάρκη παρέσχηκεν, ἐν θεάτροις, ἐν διατριβαῖς, ἐν συμποσίοις, ἀνάγνωσμα καὶ μάθημα καὶ ἀγώνισμα κοινότατον
B ὧν ἡ Ἑλλὰς ἐνήνοχε καλῶν παρέχων τὴν ποίησιν, δεικνὺς ὅ, τι δὴ καὶ ὁποῖον ἦν ἄρα δεξιότης λόγου, ἐπιὼν ἁπαν-

A. 7. περιμένουσιν] Forte, ὑπομένουσιν, ut Reiſk.

B. 1, καλῶν παρέχων] Prius revocavi ex B. E. Schott. Mez. poſterius ex Ald. Baſ. Xyl. Reiſkius item corrigendum monuit. Vulgo, καλὸν παρέχον.

fabulas cum mediis et ultimis comparet, judicare poterit, quanta fuiſſet additurus, ſi diutius vixiſſet.

III. Item. Poëtarum comicorum alios, in ſcribendo, populo et multitudini ſe accommodare, alios paucis: non facile ex omnibus inveniri, qui utrique generi ſe applicuerit. Sed Ariſtophanes, neque plebi placere, neque ferri a prudentibus potuit: nam poëſis ejus ſimilis eſt meretricis, ætate jam ultra vigorem progreſſa, matronam imitantis, cujus neque inſolentiam vulgus fert, et impudicitiam malitiamque graves homines abominantur. Contra Menander cum venuſtate quadam ubique ſe gratum aptumque exhibuit, in theatris, colloquiis, conviviis: ſuamque poëſin ita compoſuit, ut eſſet communiſſimum omnium quæ Græcia tulit bonorum, quod legeretur, diſceretur, et certatim ageretur: oſtenditque adeo quanta res eſſet dexteritas

παχόσε μετὰ πειθοῦς ἀφικνεῖται, καὶ χειρούμενος ἅπασαν ἀκοὴν καὶ διάνοιαν Ἑλληνικῆς φωνῆς. Τίνος γὰρ ἄξιον ἀληθῶς εἰς θέατρον ἐλθεῖν ἄνδρα πεπαιδευμένον, ἢ Μενάνδρου ἕνεκα; πότε δὲ θέατρα πίμπλαται ἀνδρῶν φιλολόγων, ἢ κωμικοῦ προσώπου δειχθέντος; ἐν δὲ συμποσίοις τίνι δικαιότερον ἡ τράπεζα παραχωρεῖ, καὶ τόπον ὁ Διόνυσος δίδωσι; φιλοσόφοις δὲ καὶ φιλοπόνοις, ὥσπερ ὅταν οἱ γραφεῖς ἐκπονηθῶσι τὰς ὄψεις, ἐπὶ τὰ ἀνθηρὰ καὶ ποώδη χρώματα τρέπουσιν, ἀνάπαυλα τῶν ἀκράτων καὶ συντόνων ἐκείνων, Μένανδρός ἐστιν, οἷον εὐ- C
ανθεῖ λειμῶνι καὶ σκιερῷ καὶ πνευμάτων μεστῷ δεχόμενος τὴν διάνοιαν.

δ'. Ὅτι κωμῳδίας ὑποκριτὰς τοῦ χρόνου τούτου πολλοὺς καὶ ἀγαθοὺς τῆς πόλεως ἐνεγκούσης, αἱ Μενάνδρου κωμῳδίαι ἀφθόνων ἁλῶν καὶ ἱερῶν μετέχουσι,

B. 7. ἢ κωμικοῦ] ἢ delendum: itaque reddidi.
B. 9. Διόνυσος] Sic B. E. Ceteri ridicule, Διονύσιος.
B. 9. φιλοπόνοις] Forte, φιλολόγοις.
C. 1. ἀκράτων] Res ipsa hoc postulabat; nec latuerat Xylandrum vertentem: Reiskius item vidit. Vulgo, ἀκροατῶν.
C. 5. ἐνεγκούσης] Hoc loco Epitomator, nonnulla ad sententiam necessaria omisit.

dicendi, ubique vi persuadendi inevitabili incedens, omniumque auditum et intelligentiam Græcæ linguæ sibi subjugans. Cujus enim rei gratia vir recte institutus venire dignaretur in theatrum quam propter Menandrum? Quando alias implentur theatra viris eruditionem amantibus, cum comica ostenditur persona? Cui in conviviis justius mensa cedit, locumque Bacchus dat? Jam sicut pictores oculis defessis ad floridos et virides se avertunt colores, ita philosophis et laboriosis requies gravium atque continentium meditationum est Menander, tanquam prato pulchre florenti et opaco atque auræ pleno excipiens animum.

IV. Item. Cum ætate illa actores comœdiarum multos bonosque urbs ferat; Menandri comœdiæ plurimos habeat

ὥσπερ ἐξ ἐκείνης γεγονότων τῆς θαλάττης ἐξ ὧν Ἀφροδίτη γέγονεν. Οἱ δὲ Ἀριστοφάνους ἅλες, πικροὶ καὶ τραχεῖς ὄντες, ἑλκωτικὴν δριμύτητα καὶ δηκτικὴν ἔχουσιν· καὶ οὐκ οἶδα ἐν οἷς ἐστὶν ἡ θρυλλουμένη δεξιότης αὐτοῦ, ἐν λόγοις ἢ προσώποις· ἀμέλει καὶ τὰ
D μεμιμημένα, πρὸς τὸ χεῖρον μεμίμηται· τὸ γὰρ πανοῦργον, οὐ πολιτικὸν, ἀλλὰ κακόηθες· καὶ τὸ ἄγροικον, οὐκ ἀφελὲς, ἀλλ' ἠλίθιον· καὶ τὸ γελοῖον, οὐ παιγνιῶδες, ἀλλὰ καταγέλαστον· καὶ τὸ ἐρωτικὸν, οὐχ ἱλαρὸν, ἀλλ' ἀκόλαστον. Οὐδενὶ γὰρ ὁ ἄνθρωπος ἔοικε μετρίῳ τὴν ποίησιν γεγραφέναι, ἀλλὰ τὰ μὲν αἰσχρὰ καὶ ἀσελγῆ τοῖς ἀκολάστοις, τὰ βλάσφημα δὲ καὶ πικρὰ τοῖς βασκάνοις καὶ κακοήθεσιν.

C. 11. ὑπ' αὐτοῦ] Ferri quidem potest: malim simplex αὐτοῦ.
D. 3. ἀφελὲς] Recepi, ut unice verum: nec latuerat Reiskium et Bryanum adeo ad Vit. Plut. T. II. p. 564. Vulgo, ἀσφαλές.

sacrosque sales, tanquam eo natos mari quod Venerem protulit. Aristophanis autem sales amari et asperi, acrem et mordentem, adeoque exulcerantem vim habent, ut nesciam ubi sit illa ab ipso decantata dexteritas, in verbisne an personis. Quinetiam quae imitatus est, corrupit: calliditatem facit non civilem sed malitiosam: rusticitatem non simplicem, sed fatuam: jocos non qui rideantur, sed derideantur: amores non hilares, sed impudicos. Nulli enim moderato videtur is homo suum poëma scripsisse: sed turpia et libidinosa intemperantibus, maledica et acerba invidis atque malignis hominibus.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΤΗΣ ΗΡΟΔΟΤΟΥ ΚΑΚΟΗΘΕΙΑΣ.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΤΗΣ ΗΡΟΔΟΤΟΥ ΚΑΚΟΗΘΕΙΑΣ.

PLUTARCHI

DE

HERODOTI MALIGNITATE.

α΄. ΤΟΥ Ἡροδότου πολλοὺς μὲν, ὦ Ἀλέξανδρε, καὶ ἡ λέξις, ὡς ἀφελὴς, καὶ δίχα πόνου καὶ ῥᾳδίως ἐπιτρέχουσα τοῖς πράγμασιν, ἐξηπάτηκε· πλείονες δὲ τοῦτο πρὸς τὸ ἦθος αὐτοῦ πεπόνθασιν. Οὐ γὰρ μόνον, ὥς φησιν ὁ Πλάτων, τῆς ἐσχάτης ἀδικίας, μὴ ὄντα δοκεῖν δίκαιον· ἀλλὰ κακοηθείας ἄκρας ἔργον, εὐκολίαν μι-

E. 7. Ἡροδότου πολλοὺς] Ad sententiam nil requirimus: tamen Ald. Bas. B. E. lacunam habent inter duas has voces, quam T. V. B. Anon. explent addito τοῦ λογογράφου, vel τοῦ ἱστορικοῦ.

I. HERODOTI multos, Alexander, et dictio ut simplex, et nullo labore ac facile rebus sese applicans, decepit: plures etiam ingenium ejus animusque fefellit. Non enim modo *extremæ est*, ut Plato ait, *injustitiæ*, *videri justum cum non sis*: sed summæ est malignitatis, facilita-

μεμιγμένον καὶ ἁπλότητα, δυσφώρατον εἶναι. Ἐπειδὴ δὲ τῇ κακοηθείᾳ μάλιστα πρός τε Βοιωτοὺς καὶ Κορινθίους κέχρηται, μηδὲ τῶν ἄλλων τινὸς ἀπεσχημένος, οἶμαι προσήκειν ἡμῖν, ἀμυνομένοις ὑπὲρ τῶν προγόνων ἅμα καὶ τῆς ἀληθείας, κατ' αὐτὸ τοῦτο τῆς γραφῆς τὸ μέρος· ἐπεὶ τά γε ἄλλα ψεύσματα καὶ πλάσματα βουλομένοις ἐπιδιεξιέναι, πολλῶν ἂν βιβλίων δεήσειεν. Ἀλλὰ

Δεινὸν τὸ τᾶς πειθοῦς πρόσωπον,

ὥς φησιν ὁ Σοφοκλῆς, μάλιστα δὲ ὅταν ἐν λόγῳ χάριν ἔχοντι καὶ δύναμιν τοσαύτην ἐγγένηται, τάς τε ἄλλας ἀτοπίας καὶ τὸ ἦθος ἀποκρύπτειν τοῦ συγγραφέως. Ὁ μὲν γὰρ Φίλιππος ἔλεγε πρὸς τοὺς ἀφισταμένους Ἕλληνας αὐτοῦ, καὶ τῷ Τίτῳ προστιθεμένους, ὅτι λειότερον μὲν, μακρότερον δὲ, κλοιὸν μεταλαμβάνουσιν. Ἡ δὲ Ἡροδότου κακοήθεια, λειοτέρα μὲν ἐστὶν ἀμέλει καὶ μαλακωτέρα

F. 2. δυσφώρατον] Sic E. Anon. Mez. T. V. B. Vulgo, δυσφωρότατον.
F. 2. Ἐπειδὴ δὲ τῇ κακοηθείᾳ] Recepi hæc ex Anon. T. V. Amiot. certe, aut ita, aut non multum diverſe, ſcripſit Plutarchus. In libris editis Ald. Baſ. Xyl. et ſcriptis B. E. horum loco eſt ſpatium vacuum.
F. 5. ἀμυνομένοις] Hoc Steph. ſumſit a Leonico, nec diſſentiunt excerpta ex B. E. Nam Ald. ἀμυνομένης: Baſ. Xyl. ἀμυνόμενος. Niſi exciderit proxime ante hanc vocem ἐλέγχειν αὐτὸν, vel ἀντιλέγειν πρὸς αὐτὸν, probem cum Mez. ἀμύνεσθαι.

tem et ſimplicitatem ita imitari, ut ficta ſimulatio ægre deprehendatur. Quandoquidem vero malignitate maxime adverſus Bœotos et Corinthios uſus eſt, ne aliis quidem parcens; exiſtimo decere nos patrocinium ſuſcipere et majorum, et ipſius veritatis, in hac ipſa operis parte: nam qui alia ejus mendacia et figmenta velit recenſere, multis opus habuerit libris. Sed, quod ait Sophocles,

Perſuaſionis vultus evalet,

maxime in oratione tantam gratiam et vim habente, cum alia abſurda, tum indolem animumque ſcriptoris occultare. Philippus quidem Græcis ab ipſo ad Titum Quinctium deficientibus dicebat, *eos læviori ſane ſed longiori jugo colla ſubmiſiſſe.* At Herodoti malignitas eſt ſane lævior et mollior

ῖς Θεοπόμπου, καθάπτεται δὲ καὶ λυπεῖ μᾶλλον, ὥσπερ οἱ κρύφα διὰ στενοῦ παραπνέοντες ἄνεμοι, τῶν διακεχυμένων. Δοκεῖ δέ μοι βέλτιον εἶναι, τύπῳ τινὶ λαβόντας ὅσα κοινῇ μὴ καθαρᾶς μηδ' εὐμενοῦς ἐστιν, ἀλλὰ κακοήθους, οἷον ἴχνη καὶ γνωρίσματα διηγήσεως, εἰς ταῦτα τῶν ἐξεταζομένων ἕκαστον, ἂν ἐναρμόττῃ, τίθεσθαι.

β'. Πρῶτον μὲν οὖν, ὁ τοῖς δυσχερεστάτοις ὀνόμασι καὶ ῥήμασιν, ἐπιεικεστέρων παρόντων, ἐν τῷ λέγειν τὰ πεπραγμένα χρώμενος (ὥσπερ εἰ θειασμῷ προσκείμενον ἂν ἐξὸν εἰπεῖν τὸν Νικίαν, ὁ δὲ θεόληπτον προσείποι· θρασύτητα καὶ μανίαν Κλέωνος μᾶλλον ἢ κουφολογίαν) οὐκ εὐμενής ἐστιν, ἀλλ' οἷον ἀπολαύων πως τῷ διηγεῖσθαι τοῦ πράγματος.

γ'. Δεύτερον, ὅτῳ κακὸν πρόσεστιν ἄλλως, τῇ δ' ἱστορίᾳ μὴ προσῆκον, ὁ δὲ συγγραφεὺς ἐπιδράττεται τούτου

9. πως τῷ διηγεῖσθαι] Sic Steph. ex Leonic. Schott. Anon. Nam Ald. Baſ. Xyl. ἀπολαίνων τῷ φᾶς διηγεῖσθαι, male quidem: nec multo melius B. E. ἀπολαύων τῷ σοφῶς διηγεῖσθαι. Forte verum eſt, ἀπολαύων σαφῶς τῷ δ. *manifeſto fruens*: vulgatum ad ſententiam ſatis eſt.

am Theopompi: magis aun attingit et lædit: ſicut nti per anguſtias occulte rantes moleſtiores ſunt artis. Videtur autem comdum fore, ut rudi Minerva ineemus, quæ communiter n puræ aut benevolæ, ſed lignæ narrationis quaſi veſia et notæ ſint; deinde ſinla eorum quæ examinabis eo collocaturi quo pertint.

II. Primum ſi quis in re narranda aliqua odioſiſſimis nominibus utitur, cum in promtu ſint molliora: (ut ſi quis Niciam *divino furore percitum* dicat, cum *nimis deditum divinationi* dicere liceat: aut Cleonis *ferociam et inſaniam*, cum poſſit *futilitatem*:) is non æquus eſt, ſed fruitur ac delectatur quodammodo re, narrans.

III. Deinde ſi quid vitii ineſt alias, quod ad hiſtoriam nihil facit, id ſcriptor arripiens

καὶ παρεμβάλλει τοῖς πράγμασιν οὐδὲν δεομένοις, ἀλλὰ τὴν διήγησιν ἐπεξάγων καὶ κυκλούμενος, ὅπως ἐμπεριλάβῃ ἀτύχημά τινος ἢ πρᾶξιν ἄτοπον καὶ οὐ χρηστήν, δῆλός ἐστιν ἡδόμενος τῷ κακολογεῖν. Ὅθεν ὁ Θουκυδίδης οὐδὲ τὰ Κλέωνος ἁμαρτήματα, ἀφθόνων ὄντων, ἐποιήσατο σαφῆ τὴν διήγησιν· Ὑπερβόλου τε τοῦ δημαγωγοῦ θιγὼν ἐνὶ ῥήματι, καὶ μοχθηρὸν ἄνθρωπον προσειπὼν, ἀφῆκε· Φίλιστος δὲ καὶ Διονυσίου τὰς πρὸς τοὺς βαρβάρους ἀδικίας, ὅσαι μὴ συνεπλέκοντο τοῖς Ἑλληνικοῖς πράγμασι, ἁπάσας παρέλιπεν. Αἱ γὰρ ἐκβολαὶ καὶ παρατροπαὶ τῆς ἱστορίας, μάλιστα τοῖς μύθοις δίδονται καὶ ταῖς ἀρχαιολογίαις, ἔτι δὲ πρὸς τοὺς ἐπαίνους· ὁ δὲ παρενθήκην λόγου τὸ βλασφημεῖν καὶ ψέγειν ποιούμενος, ἔοικεν εἰς τὴν τραγικὴν ἐμπίπτειν κατάραν,

——— θνητῶν ἐκλέγων τὰς συμφοράς.

C. 8. ἐνὶ] Non dubitavi recipere cum Xyl. nec Bryanum fugerat ad Vit. Plut. T. II. p. 563. Vulgo omnes ἐν.

D. 3. παρενθήκην] Sic B. E. T. Amiot. et monuit Wesseling. ad Herodot. VI, 19. Vulgo, παραθήκην.

et argumento minime postulanti admiscens, narrationem extendit et per ambages circumducit, ut calamitatem alicujus aut flagitium vel actionem illaudabilem inserat, satis ostendit se maledicendo oblectari. Itaque Thucydides ne Cleonis quidem peccata, quæ plurima erant, perspicue recensuit: et Hyperbolum popularem oratorem uno verbo attingens, *hominemque malum* appellans, missum fecit. Philistus etiam Dionysii in barbaros injurias, quæ cum Græcis rebus connexæ non essent, universas præteriit. Digressiones enim e narratione fabulis maxime permittuntur et antiquitatis explicationi, fierique ad laudandum debent: qui vero additamentum sermoni facit maledicta et vituperationes, videtur in tragicam incidere execrationem,

Pereat, qui calamitates hominum colligit.

δ'. Καὶ μὴν τό γε ἀντίστροφον τούτῳ παντὶ δῆλον ὡς καλοῦ τινος καὶ ἀγαθοῦ παράλειψίς ἐστιν, ἀνυπεύθυνον δοκοῦν πρᾶγμα εἶναι, γινόμενον δὲ κακοήθως, ἄν περ
E ἐμπίπτῃ τὸ παραλειφθὲν εἰς τόπον προσήκοντα τῇ ἱστορίᾳ· τὸ γὰρ ἀπροθύμως ἐπαινεῖν, τοῦ ψέγοντα χαίρειν, οὐκ ἐπιεικέστερον, ἀλλὰ πρὸς τῷ μὴ ἐπιεικέστερον, ἴσως καὶ χεῖρον.

ε'. Τέταρτον τοίνυν τίθεμαι σημεῖον οὐκ εὐμενοῦς ἐν ἱστορίᾳ τρόπου, τὸ δυοῖν ἢ πλειόνων περὶ ταὐτοῦ λόγων ὄντων, τῷ χείρονι προστίθεσθαι. Τοῖς γὰρ σοφισταῖς ἐφεῖται πρὸς ἐργασίαν ἢ δόξαν ἔστιν ὅτε τῶν λόγων κοσμεῖν τὸν ἥττονα παραλαμβάνοντας· οὐ γὰρ ἐμποιοῦσι πίστιν ἰσχυρὰν περὶ τοῦ πράγματος, οὐδὲ ἀρνοῦνται πολλάκις εἰς τὸ παράδοξον ἐπιχειρεῖν ὑπὲρ τῶν ἀπίστων· ὁ δὲ ἱστο-
F ρίαν γράφων, ἃ μὲν οἶδεν ἀληθῆ, λέγειν δίκαιός ἐστι, τῶν δὲ ἀδήλων τὰ βελτίονα δοκεῖν ἀληθῶς λέγεσθαι μᾶλλον ἢ

F. 1. ἀληθῆ, λέγειν—δοκεῖν] Postremum sumsi a B. E. prius consequenter correxi: utrumque unice flagitat sententia.

IV. Jam ab altera parte huic respondet, ut nemo non videt, reticentia boni facti: quae quidem impune fieri plerumque putatur, sed tamen malitiose fit, quando quod omittitur in locum incidit qui ad historiam pertinet. Illibenter enim laudare non modo non est melioris animi quam libenter vituperare, immo praeterea fortasse etiam deterioris.

V. Quartum ergo signum pono ingenii in historia scribenda parum aequi, cum duo aut plures una de re sermones feruntur, deteriorem amplecti. Sophistis quidem concessum est lucri aut gloriae caussa sententiam pejorem sumere defendendam: non enim fidem validam faciunt de rebus, et plerumque non negant gaudere se absurdis et incredibilibus probabilitatem conciliando. Qui vero historiam scribit, debet quae vera scit scribere: de incertis meliora putare rectius quam pejora prodi.

τὰ χείρονα. Πολλοὶ δὲ ὅλως τὰ χείρονα παραλείπουσιν· ὥσπερ ἀμέλει περὶ Θεμιστοκλέους Ἔφορος μὲν εἰπὼν, ὅτι τὴν Παυσανίου προδοσίαν ἀνέγνω, καὶ τὰ πρασσόμενα πρὸς τοὺς βασιλέως στρατηγοὺς, ἀλλ' οὐκ ἐπείσθη, φησὶν, οὐδὲ προσεδέξατο κοινουμένου καὶ παρακαλοῦντος αὐτὸν ἐπὶ τὰς ἐλπίδας· Θουκυδίδης δὲ καὶ τοπαράπαν τὸν λόγον τοῦτον, ὡς κατεγνωκὼς, παρῆκεν.

ϛʹ. Ἔτι τοίνυν ἐπὶ τῶν ὁμολογουμένων πεπρᾶχθαι, τὴν δ' αἰτίαν ἀφ' ἧς πέπρακται, καὶ τὴν διάνοιαν ἐχόντων ἄδηλον, ὁ πρὸς τὸ χεῖρον εἰκάζων, δυσμενής ἐστι καὶ κακοήθης· ὥσπερ οἱ κωμικοὶ τὸν πόλεμον ὑπὸ τοῦ Περικλέους ἐκκεκαῦσθαι δι' Ἀσπασίαν ἢ διὰ Φει- 856
δίαν ἀποφαίνοντες, οὐ φιλοτιμίᾳ τινὶ καὶ φιλονεικίᾳ μᾶλλον στορέσαι τὸ φρόνημα Πελοποννησίων, καὶ μηδενὸς ὑφεῖσθαι Λακεδαιμονίων ἐθελήσαντος. Εἰ μὲν γάρ τις εὐδο-

F. 5. ἀνέγνω] Forte, ἔγνω: nam ἀν ex proximo natum videtur.
F. 10. Ἔτι τοίνυν] Ita, una litera addita, correxi, ut vertendo Amiot. et Xyl. reddiderant. Omnes libri Εἰ τοίνυν.
A. 3. στορέσαι] Sic Exempl. Turneb. et proxime accedit ad veterem lectionem librorum Ald. Baf. Xyl. B. E. ἱστορῆσαι: unde Schott. Leonic. Anon. fecerunt εἰς τὸ ῥῆξαι, perperam receptum a Steph.
A. 4. Εἰ μὲν γάρ τις] Εἰ sumsi a B. E. Ald. hinc τις consequenter correxi. Vulgo, Ἐν μὲν γὰρ τοῖς.

Et hæc sunt qui omnino prætermittant. Verbi gratia, de Themistocle Ephorus scribit, *Eum Pausaniæ proditionem et quæ cum regiis ducibus tractaret legisse, non tamen passum sibi hoc persuaderi, neque admisisse Pausaniam, a quo ad spei societatem vocabatur.* Thucydides id, ut plane damnatum falsi, omisit.

VI. Porro de rebus quas gestas constat, caussa autem et institutum actionis in obscuro est, malignus est et iniquus qui in deteriorem partem conjecturas facit: ut Comici bellum a Pericle propter Aspasiam vel Phidiam incensum fuisse dicentes: non animi magnitudine et studio contendendi, retundere fastum Peloponnesiorum, et nulla in re concedere Lacedæmoniis volente. Si quis enim præclaris et laudatis factis atque

ῦσιν ἔργοις καὶ πράγμασιν ἐπαινουμένοις αἰτίαν φαύ-
υ ὑποτίθησι, καὶ κατάγεται ταῖς διαβολαῖς εἰς
οψίας ἀτόπους περὶ τῆς ἐν ἀφανεῖ προαιρέσεως τοῦ
ράξαντος αὐτό, τὸ πεπραγμένον ἐμφανῶς οὐ δυνά-
ος ψέγειν (ὥσπερ οἱ τὸν ὑπὸ Θήβας Ἀλεξάνδρου
τυράννου φόνον, οὐ μεγαλονοίας οὐδὲ μισοπονηρίας, ζήλου
τινος ἔργον καὶ πάθους γυναικείου τιθέμενοι· καὶ Κά-
α λέγοντες ἑαυτὸν ἀνελεῖν δείσαντα τὸν μετ' αἰκίας
ατον ὑπὸ Καίσαρος) εὔδηλον ὅτι φθόνου καὶ κακο-
ας ὑπερβολὴν οὐ λέλοιπε.

ζ. Δέχεται δὲ καὶ παρὰ τὸν τρόπον τοῦ ἔργου
νησις ἱστορικὴ κακοήθειαν, ἂν χρήμασι φάσκῃ μὴ δι'
τῆς κατεργάσασθαι τὴν πρᾶξιν, ὡς Φίλιππον ἔνιοι
κουσιν· ἂν σὺν οὐδενὶ πόνῳ καὶ ῥᾳδίως, ὡς Ἀλέξ-
ρον· ἂν μὴ φρονίμως, ἀλλ' εὐτυχῶς, ὡς Τιμόθεον
χθροί, γράφοντες πίναξιν εἰς κύρτον τινὰ τὰς πό-

Θήβας] Θήβης Xyl. Mez.
Δέχεται δὲ] δὲ recepi ex E.

ıs cauſſam ſubjicit vitio-
, calumniandoque in ſi-
ras abducit ſuſpiciones de
nte ejus qui rem geſſit con-
, quando ipſum factum pa-
vituperare non poteſt:
qui cædem Alexandri ty-
ıi a Theba perpetratam
magnanimitati et odio
orum, ſed obtrectationi
iam muliebri imputant:
onemque aiunt mortem ſi-
onſciviſſe, quod metueret
Cæſar ipſum turpi morte
afficeret): hunc liquet ad
ſummam invidentiam et ne-
quitiam nihil ſibi feciſſe reli-
quum.

VII. Etiam in modo a-
gendi narratio hiſtorica ma-
lignitatem admittit: ut ſi pe-
cunia quis, non virtute rem
confeciſſe dicatur, quod de
Philippo nonnulli perhibent:
ſi nullo labore, et facile, ut
de Alexandro: non prudentia,
ſed felicitate, ut Timotheum
inimici pingebant dormien-

λεις αὐτὰς ἐκείνου καθεύδοντος ὑποδυομένας. Δῆλοι
γὰρ ὅτι τῶν πράξεων ἐλαττοῦσι τὸ μέγεθος καὶ τὸ κάλλος
οἱ τὸ γενναίως καὶ φιλοπόνως καὶ κατ' ἀρετὴν καὶ δι' αὐτῶν C
ἀφαιροῦντες.

η'. Ἔτι τοίνυν τοῖς ἀπ' εὐθείας οὐ βούλονται κακῶς
λέγουσι δυσκολίαν ἐπικαλεῖν, καὶ θρασύτητα, καὶ μανίαν,
ἐὰν μὴ μετριάζωσιν· οἱ δὲ πλαγίως, οἷον ἐξ ἀφανοῦς
βέλεσι, χρώμενοι ταῖς διαβολαῖς, εἶτα περιιόντες ὀπίσω
καὶ ἀναδυόμενοι, τῷ φάσκειν ἀπιστεῖν ἃ πάνυ πιστεύεσθαι
θέλουσιν, ἀρνούμενοι κακοήθειαν, ἀνελευθερίαν τῇ κακοηθείᾳ
προσοφλισκάνουσιν.

θ'. Ἐγγὺς δὲ τούτων εἰσὶν οἱ τοῖς ψόγοις ἐπαίνους
τινὰς παρατιθέντες· ὡς ἐπὶ Σωκράτους Ἀριστόξενος, ἀπαί-
δευτον καὶ ἀμαθῆ καὶ ἀκόλαστον εἰπὼν, ἐπενήνεγκεν, „ἀδικία D
„δὲ οὐ προσῆν." Ὥσπερ γὰρ οἱ σύν τινι τέχνῃ καὶ

C. 3. Ἔτι τοίνυν—λέγουσι] Sic omnes libri, corrupte. Salmas. Ἔξεστι τοίνυν τοῖς ἀπ' εὐθείας ἃ βούλονται κακῶς λέγουσι. Mez. aliquanto probabilius, ἔστι τοίνυν τοῖς ἀπ' εὐθείας οὓς βούλονται κ. λ. Putem lenius remedium esse, Ἔτι τοίνυν βούλονται τοῖς ἀπ' εὐθείας κ. λ.

tem, et urbes ultro in retia ejus ingredientes. Nam haud dubie magnitudinem et pulchritudinem actionum deminuunt, qui generose, laboriose, per virtutem et sua ipsorum opera auctores earum egisse inficiantur.

VIII. Porro qui aperte maledicunt quibuscumque volunt, eos morosos appellamus, feroces etiam et insanos nisi modum servent: qui vero oblique et quasi ex abdito calumniis tanquam sagittis impetunt, deinde pedem referentes, eo se velant, quod non credere dicunt quae omnino credi volunt, hi ergo dum malignitatem negant, ulterius etiam illiberalitatis sese obligant.

IX. Quibus affines sunt, qui vituperationibus laudationes aliquas apponunt: ut Aristoxenus, qui cum Socratem ineruditum, inscium et libidinosum dixisset, addidit, *Injustitia tamen aberat.* Sicut e-

δεινότητι κολακεύοντες, ἔστιν ὅτε πολλοῖς καὶ μακροῖς ἐπαίνοις ψόγους παραμιγνύουσιν ἐλαφροὺς, οἷον ἥδυσμα τῇ κολακείᾳ τὴν παῤῥησίαν ἐμβάλλοντες, οὕτω τὸ κακόηθες εἰς πίστιν ὧν ψέγει προσαποτίθεται τὸν ἔπαινον.

ι'. Ἦν δὲ καὶ πλείονας καταριθμεῖσθαι τῶν χαρακτήρων· ἀρκοῦσι δὲ οὗτοι κατανόησιν τοῦ ἀνθρώπου τῆς προαιρέσεως καὶ τοῦ τρόπου παρασχεῖν.

ια'. Πρῶτα δὴ πάντων ὥσπερ ἀφ' ἑστίας ἀρξάμενος Ἰοῦς τῆς Ἰνάχου θυγατρὸς, ἣν πάντες Ἕλληνες ἐκτεθειῶσθαι νομίζουσι ταῖς τιμαῖς ὑπὸ τῶν βαρβάρων, καὶ καταλιπεῖν ὄνομα πολλαῖς μὲν θαλάτταις, πορθμῶν δὲ τοῖς μεγίστοις, ἀφ' αὐτῆς διὰ τὴν δόξαν· ἀρχὴν δὲ καὶ πηγὴν τῶν ἐπιφανεστάτων καὶ βασιλικωτάτων γενῶν παρασχεῖν· ταύτην ὁ γενναῖος ἐπιδοῦναί φησιν ἑαυτὴν Φοίνιξι φορτηγοῖς, ὑπὸ τοῦ ναυκλήρου διαφθαρεῖσαν ἑκουσίως, καὶ φοβουμένην μὴ κύουσα φανερὰ γένηται. Καὶ

D. 10. Πρῶτα δὴ πάντων] Sic B. E. Lacuna est loco πάντων in Ald. Bas. Abest item, sed sine lacuna, in Xyl. et Steph.

nim qui ex arte et callide adulantur, aliquando multis et longis laudationibus vituperationes admiscent leviculas, veluti condimentum adulationi libertatem immittentes: ita malignitas, ut fidem criminibus faciat, laudem simul ponit.

X. Licebat autem plures etiam notas enumerare, sed hæ sufficiunt ad ingenium moresque Herodoti, qualia fuerint, declaranda.

XI. Primum itaque a Vesta, quod aiunt, orsus, Io Inachi filiam, quam omnes Græci a barbaris cultam divinis honoribus, reliquisse multis maribus, et fretis maximis nomen a se ob gloriam, censent, fontemque et principium nobilissimarum ac regiarum prosapiarum præbuisse: præclarus iste negotiatoribus Phœnicibus se dedidisse ait, vitiatam a nauclero non invitam, et metuentem ne deprehenderetur a suis gravida. Mentiturque

καταψεύδεται Φοινίκων, ὡς ταῦτα περὶ αὐτῆς λεγόντων.
Περσῶν δὲ τοὺς λόγους μαρτυρεῖν φήσας, ὅτι τὴν Ἰοῦν
μετ' ἄλλων γυναικῶν οἱ Φοίνικες ἀφαρπάσειαν, εὐθὺς
ἀποφαίνεται γνώμην, τὸ κάλλιστον ἔργον καὶ μέγιστον τῆς F
Ἑλλάδος ἀβελτηρίᾳ τὸν Τρωϊκὸν πόλεμον γενέσθαι διὰ
γυναῖκα φαύλην, "Δῆλον γάρ," φησίν, "ὅτι εἰ μὴ
"αὗται ἐβούλοντο, οὐκ ἂν ἡρπάζοντο." Καὶ τοὺς θεοὺς
τοίνυν ἀβέλτερα ποιεῖν λέγωμεν, ὑπὲρ τῶν Λεύκτρου
θυγατέρων βιασθεισῶν μηνίοντας Λακεδαιμονίοις, καὶ κο-
λάζοντας Αἴαντα διὰ τὴν Κασάνδρας ὕβριν. Δῆλα
γὰρ δὴ καθ' Ἡρόδοτον, ὅτι εἰ μὴ αὗται ἐβούλοντο, οὐκ
ἂν ὑβρίζοντο. Καίτοι καὶ Ἀριστομένη φησὶν αὐτὸς ὑπὸ
Λακεδαιμονίων ζῶντα συναρπασθῆναι· καὶ Φιλοποίμην

E. 9. λόγους] Malim λογίους, ut est apud Herodot. I, 1.

E. 9. τὴν Ἰοῦν] Deest, ejusque loco vacuum intervallum in Ald. Baf. Xyl. B. F. Addidit Steph.

F. 5. τῶν Λεύκτρου] Amiot. et Xyl. vertunt addendo nomine proprio, *Scedaso*, et ipsum Σκεδάσου pro Λεύκτρου reponere jussit Bryan. ad Vit. Plut. T. II. p. 557. Forte nil mutandum.

F. 9. Ἀριστομένη] Recepi ab Exempl. Turneb. Leonic. Schott. Baf. Xyl. Vulgo, Ἀριστογένη, quod Steph. retinuit ex Aldina, quacum consentiunt B. E.

Phœnices hæc de ea tradidisse: et Persarum narrationes dicens testari, esse illam a Phœnicibus una cùm aliis raptam mulieribus, mox sententiam fert de pulcherrimo et maximo Græciæ facinore, stulte inquiens bellum Trojanum fuisse susceptum propter malam mulierem. *Manifestum enim est*, inquit, *nisi ipsæ voluissent, futurum non fuisse ut raperentur*. Proinde dicamus Deos etiam stulte fecisse, qui Spartanos ob violatas Leuctris Scedasi filias puniverunt, et Ajacem ob vim Cassandræ factam. Manifestum enim est, si Herodoto credimus, nisi ipsæ voluissent, non fuisse futurum ut violarentur. Atqui ipse ait, Aristomenem vivum fuisse a Spartanis correptum: idemque postmodo Philopœ-

ὕστερον ὁ τῶν Ἀχαιῶν στρατηγὸς τὸ αὐτὸ τοῦτο ἔπαθε· καὶ
157 Ῥηγοῦλον Καρχηδόνιοι ἐχειρώσαντο τῶν Ῥωμαίων ὕπατον,
ὧν ἔργον εὑρεῖν μαχιμωτέρους καὶ πολεμικωτέρους ἄν-
δρας. Ἀλλὰ θαυμάζειν οὐκ ἄξιον, ὅπου καὶ παρ-
δάλεις ζώσας καὶ τίγρις συναρπάζουσιν ἄνθρωποι· Ἡρό-
δοτος δὲ κατηγορεῖ τῶν βιασθεισῶν γυναικῶν, ἀπολογού-
μενος ὑπὲρ τῶν ἁρπασάντων.

ιβʹ. Οὕτω δὲ φιλοβάρβαρός ἐστιν ὥστε Βούσιριν ἀπο-
λύσας τῆς λεγομένης ἀνθρωποθυσίας καὶ ξενοκτονίας, καὶ
πᾶσιν Αἰγυπτίοις ὁσιότητα πολλὴν καὶ δικαιοσύνην μαρ-
τυρήσας, ἐφ᾽ Ἕλληνας ἀναστρέφει τὸ μύσος τοῦτο καὶ τὴν
μιαιφονίαν. Ἐν γὰρ τῇ δευτέρᾳ βίβλῳ, "Μενέλαον,"
B φησί, "παρὰ Πρωτέως ἀπολαβόντα τὴν Ἑλένην, καὶ
"τιμηθέντα δωρεαῖς μεγάλαις, ἀδικώτατον ἄνθρωπον
"γενέσθαι καὶ κάκιστον· ὑπὸ γὰρ ἀπλοίας συνεχόμενον,
"ἐπιτεχνήσασθαι πρᾶγμα οὐχ ὅσιον, καὶ λαβόντα

A. 1. Καρχηδόνιοι] Addidi ex B. E. ubi ſolum, ſine et pro ἐχειρώσαντο, legitur.
A. 6. ὑπὲρ] Sic B. E. T. V. Anon. Xyl. Salmaſ. Vulgo, ὑπό.

meni accidit Achæorum prætori: et Carthaginienſes ceperunt Regulum, conſulem Romanorum, quibus non facile inveneris viros pugnaciores et bellicoſiores. Neque mirum hoc, quando pantheræ etiam vivæ et tigres abripiuntur ab hominibus. Herodotus vero vim paſſas mulieres accuſat, et raptoribus patrocinatur.

XII. Ita autem favet barbaris, ut Buſiridem ſacrificiis iſtis, quæ feruntur, humanis, et hoſpitum nece abſolvens, omnibuſque Ægyptiis multum divinitatis et juſtitiæ ſuo quidem teſtimonio deferens, abominandum illud ſcelus atque ſceleſta parricidia in Græcos conetur avertere. Nam in ſecundo libro, *Menelaum*, ait, *cum a Proteo recepiſſet Helenam, magniſque eſſet affectus muneribus, injuſtitia omnes ſuperaſſe homines, et improbitate. Cum enim navigandi facultate deſtitueretur, commentum eſſe rem impiam, arreptiſque duobus*

" δύο παιδία ἀνδρῶν ἐπιχωρίων, ἐντομὰς ποιῆσαι μι-
" σηθέντα δὲ ἐπὶ τούτῳ καὶ διωκόμενον, οἴχεσθαι φεύ-
" γοντα νηυσὶν ἰθὺ ἐπὶ Λιβύης." Τοῦτον δὲ τὸν λόγον οὐκ οἶδα ὅστις Αἰγυπτίων εἴρηκεν· ἀλλὰ τἀναντία, πολλαὶ μὲν Ἑλένης, πολλαὶ δὲ Μενελάου τιμαὶ διαφυλάττονται παρ' αὐτοῖς.

ιγ'. Ὁ δὲ συγγραφεὺς ἐπιμένων, " Πέρσας μὲν," φησί, " παισὶ μίσγεσθαι παρ' Ἑλλήνων μαθόντας·" (καίτοι πῶς Ἕλλησι Πέρσαι διδασκάλια ταύτης ὀφείλουσι C
τῆς ἀκολασίας, παρ' οἷς ὀλίγου δεῖν ὑπὸ πάντων ὁμολογεῖται παῖδας ἐκτετμῆσθαι πρὶν Ἑλληνικὴν ἰδεῖν θάλασσαν·) " Ἕλληνας δὲ μαθεῖν παρ' Αἰγυπτίων πομπὰς
" καὶ πανηγύρεις, καὶ τοὺς δώδεκα θεοὺς σέβεσθαι· Διο-
" νύσου δὲ καὶ τοὔνομα παρ' Αἰγυπτίων Μελάμποδα μα-
" θεῖν, καὶ διδάξαι τοὺς ἄλλους Ἕλληνας· μυστήρια δὲ
" καὶ τὰς περὶ Δήμητραν τελετὰς ὑπὸ τῶν Δαναοῦ θυ-

B. 5. ἐντομὰς] Sic omnes libri: præterea B. E. inter hanc et sequentem vocem habent parvulam lacunam. Apud Herod. II, 119. ἔντομα, rectius, judice Wess. cui assentior.

puerulis incolarum, exta eorum inspexisse: ob hoc cum laboraret invidia, et essent qui persequerentur, profugum navibus recta in Africam fuisse avectum. Hæc narratio cujusnam sit Ægyptiorum, equidem haud novi. Nam contra apud Ægyptios multi Helenæ, multi Menelao honores etiamnum habentur.

XIII. Idem Herodotus ut sibi similis maneret, *Persas*, ait, *a Græcis violationem masculi sexus didicisse:* (At qui Græcis Persæ hujus impuritatis minerval debent? apud quos fere omnes alii scriptores consentiunt mares fuisse exsectos, antequam Græcum illi attigissent mare) *Græcos autem didicisse ab Ægyptiis pompas, solennes festivitates, et cultum horum duodecim deorum. Dionysi quoque nomen,* (is est Bacchus) *Melampodem ab Ægyptiis didicisse, et alios Græcos docuisse: mysteria quoque, et Cereris sacrorum initiationes ex Ægypto a Danai filiabus al-*

"γατέρων ἐξ Αἰγύπτου κομισθεῖσαι· καὶ τύπτεσθαι μὲν "Αἰγυπτίους, φησὶ, καὶ πενθεῖν, οὐ βούλεσθαι αὐτοὺς ὀνο-"μάζειν, ἀλλ' εὐστόμως κεῖσθαι περὶ τῶν θείων." Ἡρα-
D κλέα δὲ καὶ Διόνυσον, οὓς μὲν Αἰγύπτιοι ἀποφαίνονται θεοὺς, Ἕλληνες δὲ ἀνθρώπους καταγεγηρακότας, οὐδαμοῦ ταύτην προσέθετο τὴν εὐλάβειαν· καίτοι καὶ τὸν Αἰγύπτιον Ἡρακλέα τῶν δευτέρων θεῶν γενέσθαι λέγει, καὶ τὸν Διόνυσον τῶν τρίτων, ὡς ἀρχὴν ἐσχηκότας γενέσεως, καὶ οὐκ ὄντας ἀϊδίους· ἀλλ' ὅμως ἐκείνους μὲν ἀποφαίνει θεοὺς, τούτοις δὲ ὡς φθαρτοῖς καὶ ἥρωσιν ἐναγίζειν δεῖν οἴεται, ἀλλὰ μὴ θύειν ὡς θεοῖς. Τὰ αὐτὰ καὶ περὶ Πανὸς εἴρηκε, ταῖς Αἰγυπτίων ἀλαζονείαις καὶ μυθολογίαις τὰ
E σεμνότατα καὶ ἁγνότατα τῶν Ἑλληνικῶν ἱερῶν ἀνατρέπων.

ιδ'. Καὶ οὐ τοῦτο δεινόν· ἀλλ' ἀναγαγὼν εἰς Περ-

C. 10. οὐ βούλεσθαι] Inter has et antecedentem vocem exiguum est spatium in B. E. eam explent T. V. Anon. Amiot. ita legendo πενθεῖν, διὰ τί δὲ, αὐτοὺς οὐ βούλεσθαι ὀνομάζειν—. Cetera non male: equidem lacunam expleam verbis τίσι δὲ οὐ βούλεσθαι αὐτὸς ὁ. Sententia perspicua est ex Herod. II, 61.

C. 11. Ἡρακλέα] περὶ praeponit Salmas. hoc satis est mutationis, nec opus Genitivis cum T. V. Anon.

D. 7. φθαρτοῖς] φθιτοῖς B. E.

latas: et planctum luctumque agere Ægyptios in honorem Deorum, sed se nomina eorum nolle edere, sed de numinibus os compescere. De Hercule autem et Baccho, quos Ægyptii Deos appellant, Græci, homines qui consenuerint, nusquam adhibuit istam cautionem; quamquam Herculem quoque Ægyptium in Diis secundis ponit, Bacchum in tertiis: ut qui aliquod ortus sui principium habuerint, neque æterni fuerint. Sed tamen, *illos Deos esse*, pronunciat, *his ut caducis et heroibus parentandum* putat, *non sacrificandum ut Diis*. Eadem de Pane etiam dixit: Ægyptiorum superbis nugis et fabulis sacra Græcorum maxime veneranda et casta subvertens.

XIV. Neque hoc satis atrox. Quin et Herculis genus in Perseum referens, *Per-*

σέα τὸ Ἡρακλέους γένος, Περσέα μὲν Ἀσσύριον γεγονέναι λέγει κατὰ τὸν Περσῶν λόγον· « Οἱ δὲ Δωριέων, » φησίν, « ἡγεμόνες φαίνοιντ' ἂν Αἰγύπτιοι ἰθαγενέες ἐόντες, « καταλέγοντες τοὺς ἄνω Δανάης καὶ Ἀκρισίου πατέρας. » Τὸν γὰρ Ἔπαφον, καὶ τὴν Ἰώ, καὶ τὸν Ἴασον, καὶ τὸν Ἄργον ὅλως ἀφῆκε, φιλοτιμούμενος μὴ μόνον ἄλλους Ἡρακλεῖς Αἰγυπτίους καὶ Φοίνικας ἀποφαίνειν, ἀλλὰ καὶ τοῦτον, ὃν αὐτὸς τρίτον γεγονέναι φησίν, εἰς βαρβάρους ἀποξενῶσαι τῆς Ἑλλάδος. Καίτοι τῶν παλαιῶν καὶ λογίων ἀνδρῶν, οὐχ Ὅμηρος, οὐχ Ἡσίοδος, οὐκ Ἀρχίλοχος, οὐ Πείσανδρος, οὐ Στησίχορος, οὐκ Ἀλκμάν, οὐ Πίνδαρος, Αἰγυπτίου ἔσχον λόγον Ἡρακλέους ἢ Φοίνικος, ἀλλ' ἕνα τοῦτον ἴσασι πάντες Ἡρακλέα τὸν Βοιώτιον ὁμοῦ καὶ Ἀργεῖον.

ιε'. Καὶ μὴν τῶν ἑπτὰ σοφῶν, οὓς αὐτὸς σοφιστὰς προσεῖπε, τὸν μὲν Θάλητα, Φοίνικα τῷ γένει τὸ ἀνέ-

E. 6. καταλέγοντες—Ἀκρισίου] Recte Mez. καταλέγοντι τοὺς ἄνω ἀπὸ Δανάης τῆς Ἀκρισίου—Ita Herodotus, VI, 53.

ſeum, inquit, *Aſſyrium fuiſſe Perſæ aiunt: Dorienſium autem majores videri poſſunt a prima origine indigenæ Ægyptii, ſi quis eos recenſeat qui ante Danaen Acriſii filiam fuerunt.* Nam Epaphum, Io, Argum, Iaſum alioſque omnino omiſit, hoc ſibi ſtudio ducens non modo ut alios Hercules Ægyptios et Phœnices faceret: ſed ut etiam tertium hunc e Græcia patria ejectum in barbaros deportaret. At enim de priſcis et doctis hominibus, neque Homerus, neque Heſiodus, neque Archilochus, neque Piſander, neque Steſichorus, neque Alcman, neque Pindarus ullam habent mentionem Ægyptii aut Phœnicis Herculis: ſed unum illum norunt Herculem noſtrum Bœotum et Argivum.

XV. Jam de ſeptem ſapientibus, quos ille *ſophiſtas* nominat, *Thaletem a Pœnis oriundum ac barbarum genere*

θεν ἀποφαίνεται βάρβαρον· τοῖς δὲ θεοῖς λοιδορούμενος τῷ Σόλωνος προσωπείῳ ταῦτα εἴρηκεν, " ὦ Κροῖσε, ἐπιστάμενόν με τὸ θεῖον πᾶν ἐὸν φθονερόν τε καὶ ταραχῶδες ἐπειρωτᾷς ἀνθρωπηΐων περὶ πραγμάτων." γὰρ αὐτὸς ἐφρόνει περὶ τῶν θεῶν, τῷ Σόλωνι προσβόμενος, κακοήθειαν τῇ βλασφημίᾳ προστίθησι. ιττακῷ τοίνυν εἰς μικρὰ καὶ οὐκ ἄξια λόγου χρησάμενος, ὃ μέγιστόν ἐστι τῶν πεπραγμένων τῷ ἀνδρὶ καὶ λλιστον, ἐν ταῖς πράξεσι γενόμενος παρῆκε. Πολεύντων γὰρ Ἀθηναίων καὶ Μιτυληναίων περὶ Σιγείου, ιώνος τοῦ στρατηγοῦ τῶν Ἀθηναίων προκαλεσαμένου βουλόμενον εἰς μονομαχίαν, ἀπήντησεν ὁ Πιττακὸς, καὶ τύῳ περιβαλὼν τὸν ἄνδρα ῥωμαλέον ὄντα καὶ μέγαν, έκτεινε· τῶν δὲ Μιτυληναίων δωρεὰς αὐτῷ μεγάλας όντων, ἀκοντίσας τὸ δόρυ, τοῦτο μόνον τὸ χωρίον ἠξίωσεν ον ἐπέσχεν ἡ αἰχμή· καὶ καλεῖται μέχρι νῦν Πιττάον. Τί οὖν ὁ Ἡρόδοτος, κατὰ τὸν τόπον γενόμενος τοῦ-

6. γενόμενος] Ita edidi et verti, ut jam Reisk. viderat. Omnes libri γενόμενον.

nunciat. Diis autem maicens sub persona Solonis: , inquit, *gnarum omne nu- invidum esse ac tumultuo-, de rebus humanis interro-*. Suam enim de Diis Soi tribuens sententiam, manitatem impio sermoni adixit. Pittaco idem in pau- et memoratu indignis usus, ximum illius viri factum pulcherrimum omisit, quum eum historiæ locum venis-.. Atheniensibus enim et Mitylenæis de Sigeo bellum gerentibus, Phrynoni Atheniensium duci ad singulare certamen provocanti si quis congredi vellet, occurrit, retique circumjiciens hominem robustum ac magnum interfecit: ac Mitylenæis magna ei dona offerentibus, conjecta hasta, id duntaxat agri petiit, quo cuspis pertigisset: locusque is etiamnum Pittacium dicitur. Quid Herodotus, cum eo loci pervenisset? Pro re a Pittaco

τον; Ἀντὶ τῆς Πιττακοῦ ἀριστείας, τὴν Ἀλκαίου διηγούμενος τοῦ ποιητοῦ φυγὴν ἐκ τῆς μάχης, τὰ ὅπλα ῥίψαντος· τῷ τὰ μὲν χρηστὰ μὴ γράψαι, τὰ δ᾽ αἰσχρὰ μὴ παραλιπεῖν, μαρτυρήσας τοῖς ἀπὸ μιᾶς κακίας καὶ τὸν φθόνον φύεσθαι καὶ τὴν ἐπιχαιρεκακίαν λέγουσι.

ιϛ΄. Μετὰ ταῦτα τοὺς Ἀλκμαιωνίδας, ἄνδρας γενομένους, καὶ τὴν πατρίδα τῆς τυραννίδος ἐλευθερώσαντας, εἰς αἰτίαν ἐμβαλὼν προδοσίας, « δέξασθαί φησι τὸν « Πεισίστρατον ἐκ τῆς φυγῆς, καὶ συγκαταγαγεῖν ἐπὶ « τῷ γάμῳ τῆς Μεγακλέους θυγατρός· τὴν δὲ παῖδα « πρὸς τὴν μητέρα φράσαι τὴν ἑαυτῆς, ὅτι ὦ μάμ- « μιον ὁρᾷς, οὐ μίγνυταί μοι κατὰ νόμον Πεισίστρατος· « ἐπὶ τούτῳ δὲ τοὺς Ἀλκμαιωνίδας τῷ παρανομήματι « σχετλιάσαντας ἐξελάσαι τὸν τύραννον.»

ιζ΄. Ἵνα τοίνυν μηδ᾽ οἱ Λακεδαιμόνιοι τῶν Ἀθηναίων ἔλαττον ἔχωσι τῆς κακοηθείας, τὸν ἐν αὐτοῖς μάλιστα θαυμαζόμενον καὶ τιμώμενον ὅρα πῶς διαλελύμανται τὸν

C. 10. ἐν αὐτοῖς] Sic E. Ald. Bas. Xyl. Vulgo, ἑαυτοῖς.

bene gesta fugam Alcæi ponit, arma in prœlio abjicientis: bene facta non scribendo, turpiter acta non prætermittendo testimonium perhibens iis qui ex eadem malitia nasci invidiam et malevolentiam alienis gaudentem incommodis aiunt.

XVI. Secundum hæc Alcmæonidas, qui viros se præstiterunt, patriamque tyrannide liberaverunt, proditionis insimulans ait, *recepisse ab exsilio Pisistratum, et reduxisse in patriam pactis filiæ Megaclis nuptiis: puellam autem matri narrasse, a Pisistrato se non ut fas est cognosci: hoc scelus Alcmæonidas indigne tulisse, ac tyrannum ejecisse.*

XVII. Ne autem malignitas ejus minus in Spartanos quam in Athenienses redundaret, vide ut Othryadam, in summa apud illos admiratione

Ὀθρυάδαν. « Τὸν δὲ ἕνα, » φησὶ, « τὸν περιλειφθέντα D « τῶν τριηκοσίων, αἰσχυνόμενον ἀπονοστέειν εἰς Σπάρτην « τῶν συλλοχιτέων διεφθαρμένων, αὐτοῦ μιν ἐν τοῖσι Θυ- « ρεοῖσι καταχρήσασθαι ἑωυτόν. » Ἄνω μὲν γὰρ ἀμφοτέροις ἐπίδικον εἶναι τὸ νίκημά φησιν, ἐνταῦθα δὲ τῇ αἰσχύνῃ τοῦ Ὀθρυάδου ἧτταν τῶν Λακεδαιμονίων καταμαρτύρησεν· ἡττηθέντα μὲν γὰρ ζῆν αἰσχρὸν ἦν, περιγενέσθαι δὲ νικῶντι κάλλιστον.

ιη΄. Ἐῶ τοίνυν ὅτι τὸν Κροῖσον ἀμαθῆ καὶ ἀλαζόνα καὶ γελοῖον φήσας ἐν πᾶσιν, ὑπὸ τούτου φησὶν αἰχμαλώτου γενομένου καὶ παιδαγωγεῖσθαι καὶ νουθετεῖσθαι τὸν Κῦρον, ὃς φρονήσει καὶ ἀρετῇ καὶ μεγαλονοίᾳ πολὺ πάντων δοκεῖ πεπρωτευκέναι τῶν βασιλέων· τῷ δὲ Κροίσῳ μηδὲν E ἄλλο καλὸν ἢ τὸ τιμῆσαι τοὺς θεοὺς ἀναθήμασι πολλοῖς καὶ μεγάλοις μαρτυρήσας, αὐτὸ τοῦτο πάντων ἀσεβέστατον ἀποδείκνυσιν ἔργον. Ἀδελφὸν γὰρ αὐτοῦ Παντολέοντα

D. 8. ἀμαθῆ] Sic B. E. Xyl. Vulgo, ἐμμανῆ, quod Steph. ſumſit a Schott. Leonic. Anon. ita corrigentibus Aldinæ et Baſ. vitium ἀμανῆ.
D. 12. τῷ δὲ Κροίσῳ] δὲ addidi ex B. E. Mez.
E. 2. αὐτὸ τοῦτο—ἔργον] Forte corrigendum, αὐτὸν τοῦτον—ἔργῳ.

et honore habitum, fœdet. *Unum autem*, inquit, *de trecentis ſuperſtitem Othryadem ferunt turpe ratum Spartam redire ſociis amiſſis, ibi ad Thyreas ſibi ipſi manum intuliſſe.* Supra enim cum *incertam fuiſſe utrinque* diceret *Victoriam*, hic pudore Othryadis, victos fuiſſe Lacedæmonios, arguit. Turpe enim fuit ei vivere victo: at victori, ſervari pulcherrimum.

XVIII. Mitto nunc, quod Crœſum hominem indoctum, glorioſum, et ridiculum in omnibus faciens, ab eo capto Cyrum, qui prudentia et virtute ac magnanimitate facile omnes reges excelluiſſe creditur, inſtitutum atque officii admonitum ſcribit. Cumque de Crœſo nihil aliud laudabile teſtetur, quam multis eum ac magnis donariis Deos eſſe veneratum: hoc ipſum facinus impiiſſimum fuiſſe monſtrat. *Vivo enim patre, Pantoleontem*

περὶ τῆς βασιλείας διαφέρεσθαι, ζῶντος ἔτι τοῦ πατρὸς, τὸν οὖν Κροῖσον, ὡς εἰς τὴν βασιλείαν κατέστη, τῶν ἑταίρων καὶ φίλων τοῦ Παντολέοντος ἕνα τῶν γνωρίμων ἐπὶ γνάφου διαφθεῖραι καταξαινόμενον, ἐκ δὲ τῶν χρημάτων αὐτοῦ ποιησάμενον ἀναθήματα τοῖς θεοῖς ἀποστεῖλαι. Δηϊόκην δὲ τὸν Μῆδον ἀρετῇ καὶ δικαιοσύνῃ κτησάμενον τὴν ἡγεμονίαν, οὐ φύσει γενέσθαι φησὶ τοιοῦτον, ἐρασθέντα δὲ τυραννίδος, ἐπιθέσθαι προσποιήματι δικαιοσύνης.

ιθʹ. Ἀλλ' ἀφίημι τὰ τῶν βαρβάρων· ἀφθονίαν γὰρ αὐτὸς ἐν τοῖς Ἑλληνικοῖς πεποίηκεν. „Ἀθηναίους τοίνυν „καὶ τοὺς πολλοὺς τῶν ἄλλων Ἰώνων ἐπαισχύνεσθαι τῷ „ὀνόματι τούτῳ, μὴ βουλομένους, ἀλλὰ φεύγοντας Ἴωνας „κεκλῆσθαι, τοὺς δὲ νομίζοντας αὐτῶν γενναιοτάτους εἶ-

E. 4. *βασιλείας διαφέρεσθαι*] Inter has duas voces habent ἐν τῷ Ald. et hinc Steph. at B. E. αὐτῷ: unde apparet, id ex proximo temere repetitum esse, et recte deletum a Bas. Xyl. Mez.

E. 5. *τῶν ἑταίρων καὶ φίλων*] Non est quare deleatur cum Reiskio, servatum in omnibus libris; modo legas τὸν ἑταῖρον καὶ φίλον; nam γνώριμον est *nobilem*, ut recte vertit Amiotus.

E. 7. *γνάφου*] Probæ vocem formæ recepi a B. Vulgo, τάφου, quod Steph. sumsit ex Leonic. et Schott. qui ita correxerunt Ald. et Bas. νάφου, quod et E. habet. Xyl. κναφείῳ. Apud Herodot. I, 92, pro κναφείῳ restituit Wess. κνάφῳ: idem Plutarcho dedissem, si codices scripti præbuissent.

F. 3. *γενέσθαι—προσποιήματι*] Ita mutilum integravi locum ex B. E. Vulgo, γενέσθαι ἀλλὰ προσποιήματι.

F. 5. *γὰρ αὐτὸς*] Sic B. E. T. V. Anon. Xyl. Vulgo, γὰρ αὐτοί.

fratrem cum Crœso de regno contendisse: eo potitum Crœsum, unum de sociis et familiaribus fratris hominem nobilem, super carduos fullonios tractum enecasse, donariaque ex ejus pecunia facta Diis misisse. Refert etiam Medum Deiocem, qui virtute et justitia regnum in Medos sibi paravit, *non a natura talem fuisse, sed captum cupidine tyrannidis eam invasisse simulatione justitiæ.*

XIX. Sed mitto barbara, quando magnam exemplorum copiam res Græcæ sufficiunt. *Athenienses, et plerosque alios Iones*, ait, *nolle se Ionum nomine dehonestari, sed id fu-*

“ ναι, καὶ ὁρμηθέντας ἀπὸ τοῦ πρυτανηίου τοῦ Ἀθηναίων, “ ἐκ βαρβάρων παιδοποιήσασθαι γυναικῶν, πατέρας “ αὐτῶν καὶ παῖδας φονεύσαντας· διὸ τὰς γυναῖκας νό- “ μον θέσθαι, ὅρκους ἐπελάσαι, καὶ παραδοῦναι ταῖς θυ- “ γατράσι μήποτε ὁμοσιτῆσαι τοῖς γε ἀνδράσι μηδ’ “ ὀνομαστὶ βοῆσαι τὸν αὐτῆς ἄνδρα· καὶ τοὺς νῦν ὄντας “ Μιλησίους, ἐξ ἐκείνων γεγονέναι τῶν γυναικῶν·” ὑπ- ειπὼν δὲ καθαρῶς Ἴωνας γεγονέναι τοὺς Ἀπατούρια ἄγον- τας ἑορτήν, “ Ἄγουσι δὲ πάντες,” φησί, “ πλὴν Ἐφε- “ σίων καὶ Κολοφωνίων.” Τούτους μὲν οὕτως ἐκκέκλεικε τῆς εὐγενείας.

κ′. “ Πακτύην δὲ ἀποστάντα Κύρου,” φησί, “ Κυ- “ μαίους καὶ Μιτυληναίους ἐκδιδόναι παρασκευάζεσθαι “ τὸν ἄνθρωπον ἐπὶ μισθῷ. Οὐ γὰρ ἔχω γε εἰπεῖν “ ἀτρεκέως” (εὖ τὸ μὴ διαβεβαιοῦσθαι πόσος ἦν ὁ

F. 10. πρυτανηίω] Sic B. E. Ald. Baf. Xyl. et Herod. I. 146. At Steph. πρυτανείω, unde et quare, nescio.

A. 4. ἐκκέκλεικε] Sic B. E. Baf. Xyl. Schott. Anon. Vulgo, ἐκκέκλεκε, quod ex Ald. adhæsit Stephano.

A. 6. Κυμαίυς—εἰδότα] Ita omnes libri. Corruptus et mutilus locus, nec conjectura probabiliter restituendus. Res quidem patet ex Herodoto I, 160, sententia item universe, quam reddidi vertendo.

gere: qui vero se nobilissimos putarent, et ex ipso Prytaneo Athenis profectos, eos prolem e barbaris procreasse uxoribus, quarum parentes et liberos interfecissent: ideoque has legem tulisse, et filiabus quoque suis servandam injunxisse, ne unquam cum marito cibum sumerent, aut eum nominatim compellarent: et qui nunc sint Milesii, eos ex istis ortos mulieribus. Postea subjiciens, *Iones puros esse eos qui Apaturia celebrant: Agunt,* ait, *omnes, Ephesiis demtis et Colophoniis:* hos ergo sic nobilitate spoliat sua.

XX. Porro *Pactyam, qui a Cyro defecerat, profugum Cumas, Cumæos ablegasse Mitylenam, Mitylenæos, ut dederent,* ait, *pretium pactos egisse: quantum, se ignorare.* Scilicet præclarum est, cum fatearis te pretium ignorare, interim

μισθός, τηλικούτῳ δὲ Ἑλληνίδι πόλει προσβαλεῖν ὄνειδος ὡς δὴ σαφῶς εἰδότα·) « Χίους μέντοι τὸν Πακτύην κομισθέντα πρὸς αὐτοὺς ἐξ ἱεροῦ Ἀθηναίης Πολιούχου « ἐκδοῦναι, καὶ ταῦτα ποιῆσαι τοὺς Χίους, τὸν Ἀταρνέα B « μισθὸν λαβόντας. » Καίτοι Χάρων ὁ Λαμψακηνός, ἀνὴρ πρεσβύτερος, ἐν τοῖς περὶ Πακτύην λόγοις γενόμενος, τοιοῦτον οὐδὲν οὔτε Μιτυληναίοις οὔτε Χίοις ἄγος προστέτριπται, ταυτὶ δὲ κατὰ λέξιν γέγραφε, « Πακτύης « δὲ ὡς ἐπύθετο προσελαύνοντα τὸν στρατὸν τὸν Περσικόν, « ᾤχετο φεύγων ἄρτι μὲν εἰς Μιτυλήνην, ἔπειτα δὲ εἰς « Χίον· καὶ αὐτοῦ ἐκράτησε Κῦρος. »

κα΄. Ἐν δὲ τῇ τρίτῃ τῶν βίβλων διηγούμενος τὴν Λακεδαιμονίων ἐπὶ Πολυκράτην τὸν τύραννον στρατείαν, « αὐτὸς μὲν οἴεσθαι, » φησί, « καὶ λέγειν Σαμίους, ὡς χά- C « ριν ἐκτίνοντες αὐτοῖς τῆς ἐπὶ Μεσσηνίους βοηθείας στρα- « τεύσειαν τούς τε φεύγοντας κατάγοντες τῶν πολιτῶν,

B. 1. ποιῆσαι] Unus Steph. credo operarum errore, πονῆσαι.
C. 1. αὐτὸς μὲν οἴεσθαι] Legendum, αὐτοὺς μὲν οἴεσθαι, ut magis congruum Herodoto III, 47: itaque verterunt Amiot. et Xyl.

quasi probe comperta re tantam urbi Græcæ infamiam impingere. *Chios*, ait, *Pactyam ad se delatum ex Minervæ Poliuchi fano avulsum tradidisse, Atarneumque mercedis loco accepisse.* At Charo Lampsacenus ætate prior, ubi de Pactya ei sermo est, nullum tale neque Mitylenæis neque Chiis flagitium imputat. Hæc autem sunt ejus verba: *Pactyas, audito exercitum Persicum appropinquare, profugit primo Mitylenam, deinde in Chium: eumque cepit Cyrus.*

XXI. In tertio deinde libro Herodotus narrans Lacedæmoniorum adversus Polycratem tyrannum expeditionem, scribit, *Samios existimare et dicere, Spartanos ipsis gratiam rependisse pro auxilio quondam iis adversus Messenios lato, ideoque et exsules reduxisse Samios, et in tyrannum*

τῷ τυράννῳ πολεμοῦντες· ἀρνεῖσθαι δὲ τὴν αἰτίαν ύτην Λακεδαιμονίους, καὶ λέγειν ὡς οὐ βοηθοῦντες, ' ἐλευθεροῦντες, ἀλλὰ τιμωρούμενοι Σαμίους στρασαιντο, κρατῆρά τινα πεμπόμενον Κροίσῳ παρ' ῶν, καὶ θώρακα πάλιν παρ' Ἀμάσιδος κομιζόμενον ελομένους." Καίτοι πόλιν ἐν τοῖς τότε χρόνοις ιλότιμον οὕτως, οὔτε μισοτύραννον ἴσμεν, ὡς τὴν δαιμονίων γενομένην· ποίου γὰρ ἕνεκα θώρακος, ἢ κρατῆρος ἑτέρου, Κυψελίδας μὲν ἐξέβαλον ἐκ ου καὶ Ἀμπρακίας, ἐκ δὲ Νάξου Λύγδαμιν, ἐξ ναίων δὲ τοὺς Πεισιστράτου παῖδας, ἐκ δὲ Σικυῶνος ην, ἐκ Θάσου δὲ Σύμμαχον, ἐκ δὲ Φωκέων Αὖἐκ Μιλήτου δὲ Ἀριστογένην· τὴν δ' ἐν Θετταλοῖς στείαν ἔπαυσαν, Ἀριστομήδη καὶ Ἄγγελον καταλύσαντες Λεωτυχίδου τοῦ βασιλέως, περὶ ὧν ἐν ἄλλοις ἀκρον γέγραπται· κατὰ δὲ Ἡρόδοτον, οὔτε κακίας, βελτηρίας ὑπερβολὴν λελοίπασιν· εἰ τὴν καλ-

ἐξων] Recepi ab Exemplo Turn. Amiot. Xyl. Ceteri omnes, ξενάγων.

movisse. Lacedæmonios id negare, ac dicere se itulandi, aut liberandi, lciscendi Samios caussa scepisse expeditionem, qui ipsis a Crœso craterem, nque ab Amaside thoraurripuissent. Atqui nula tempestate urbem ita gnificam et tyrannis ina novimus, ut fuit Sparujus enim thoracis caussa ræteris Cypselidas ejecerunt Corintho et Ambracia, Lygdamin Naxo, Pisistrati filios Athenis, Sicyone Æschinem, Thaso Symmachum, Phocide Aulin, Mileto Aristogenem, dominationem in Thessalis everterunt, Aristomede et Angelo opera Leotychidæ regis dejectis? de quibus alibi copiosius scriptum est. Si autem Herodoto credimus, nihil sibi malitiæ, nihil stultitiæ fecerunt reli-

λίστην καὶ δικαιοτάτην τῆς στρατείας ἀρνούμενοι πρόφασιν, ὁμολογοῦσι διὰ μνησικακίαν καὶ μικρολογίαν ἐπιθέσθαι δυστυχοῦσιν ἀνθρώποις καὶ κακῶς πράττουσιν.

κβ'. Οὐ μὴν ἀλλὰ Λακεδαιμονίους μὲν ἄλλως γέ πως ὑποπεσόντας αὐτοῦ τῷ γραφείῳ προσέχρωσε· τὴν δὲ Κορινθίων πόλιν ἐκτὸς δρόμου τοῦτον οὖσαν τὸν τόπον, ὅμως προσπεριλαβὼν, ὁδοῦ, φασὶ, πάρεργον, ἐνέπλησεν αἰτίας δεινῆς καὶ μοχθηροτάτης διαβολῆς. « Συνεπελάβοντο γὰρ, » φησὶ, « τοῦ στρατεύματος ἐπὶ Σάμον ὥστε γενέσθαι, Κορίνθιοι προθύμως, ὑβρίσματος εἰς αὐτοὺς ὑπὸ Σαμίων πρότερον ὑπάρξαντος· ἦν δὲ τοῦτο· Κερκυραίων παῖδας τριακοσίους τῶν πρώτων Περίανδρος ὁ Κορίνθου τύραννος ἐπ' ἐκτομῇ παρ' Ἀλυάττην ἔπεμπε· τούτους ἀποβάντας εἰς τὴν νῆσον οἱ Σάμιοι διδάξαντες ἐν ἱερῷ Ἀρτέμιδος ἱκέτας καθίζεσθαι, καὶ τρωκτὰ προσθέντες αὐτοῖς σησάμου καὶ

E. 2. ἄλλως γέ πως] Forte ἀμωσγέπως, ut Reiske.
E. 5. φασὶ] Recepi ab uno Xyl. Vulgo, φησί.
F. 6. προτιθέντες] Hoc dedi quia in E. exstat, et praestat vulgato περιτιθέντες:

quum, qui pulcherrimam et justissimam expeditionis caussam abnegantes, fassi sunt se ob acceptae injuriae memoriam, reique vilis magnam aestimationem miseros homines afflictosque adoriri.

XXII. Enimvero Lacedaemonios utcunque tum sub stylum suum venientes ibi pupugit. Corinthum autem, quae hic quidem extra cursum narrationis erat, tamen obiter quoque arripiens turpissimo crimine et calumnia pessima conspersit: *Haec*, inquit, *expeditio ut fieret, studiose Corinthii adjuverunt, quibus ipsis quoque contumelia erat olim a Samiis facta: res ita habet: Corcyraeorum pueros trecentos primarios Periander Corinthi tyrannus ad Alyattem misit castrandos: hos cum in ipsorum insulam exscensionem fecissent, docuerunt Samii in fano Dianae supplices sedere, ac placentas e sesamo et melle ad e-*

« μέλιτος, περιεποίησαν." Τοῦτο ὕβρισμα Σαμίων εἰς Κορινθίους ὁ συγγραφεὺς προσαγορεύει, καὶ διὰ τοῦτο, φησὶ, συμπαροξύναι Λακεδαιμονίους κατ' αὐτῶν ἔτεσιν οὐκ ὀλίγοις ὕστερον, ἔγκλημα ποιησαμένους ὅτι τριακοσίους παῖδας Ἑλλήνων ἐφύλαξαν ἄνδρας. Ὁ δὲ τοῦτο Κορινθίοις προστριβόμενος τοὔνειδος, ἀποφαίνει τοῦ τυράννου μοχθηροτέραν τὴν πόλιν· ἐκεῖνος μὲν γὰρ τὸν υἱὸν αὐτοῦ Κερκυραίους ἀνελόντας ἠμύνατο· Κορίνθιοι δὲ τί παθόντες ἐτιμωροῦντο Σαμίους ἐμποδὼν στάντας ὠμότητι καὶ παρανομίᾳ τοσαύτῃ; καὶ ταῦτα μετὰ τρεῖς γενεὰς ὀργὴν καὶ μνησικακίαν ἀναφέροντες ὑπὲρ τυραννίδος, ἧς καταλυθείσης, πᾶν τὸ μνῆμα καὶ πᾶν ἴχνος ἐξαλείφοντες καὶ ἀφανίζοντες οὐκ ἐπαύοντο, χαλεπῆς καὶ βαρείας αὐτοῖς γενομένης. Ἀλλὰ δὴ τὸ μὲν ὕβρισμα τοιοῦτον ἦν τὸ Σα-

alioqui recipiendum erat παρατιθέντες ex T. V. Ceterum post αὐτοῖς B. et E. addunt ὁσημέραι.

F. 9. Λακεδαιμονίους—παῖδας] Ita supplevi locum mutilum ex B. E. Vulgo, Λακεδαιμονίους ὅτι παῖδας.

F. 13. γὰρ—ἀνελόντας] Prius sumsi a Mez. posterius ab ipsa rei veritate. Vulgo, γε—ἀνελόντα.

A. 4. τὸ μνῆμα] Forte, τι μνῆμα, ut Reisk.

dendum proponentes conserva-verunt. Hoc contumeliam Samiorum in Corinthios appellat scriptor, ideoque hos stimulos Lacedæmoniis addidisse adversus Samios multis postea annis, crimini dantes iis nimirum quod trecentos filios Græcorum mares relinqui obtinuissent. Quod scelus Corinthiis ille tribuens, urbem ipso tyranno flagitiosiorem facit. Is quidem ultus fuit Corcyræos, qui filium ejus interfecerant. Quid autem evenit Corinthiis, ut a Samiis pœnas expeterent, quod ii crudelitati et improbitati tantæ impedimento fuerunt? idque adeo post tres ætates, ut memoriam acceptæ injuriæ renovarent in ejus gratiam tyrannidis, cujus, ut quæ gravissima ipsis fuisset, extinctæ omnia monumenta et vestigia abolendi finem nullum faciebant. Talis ergo fuit Samiorum in Corinthios in-

μίων εἰς Κορινθίους· τὸ δὲ τιμώρημα ποῖόν τι τὸ Κορίν-
θίων εἰς Σαμίους; εἰ γὰρ ὄντως ὠργίζοντο Σαμίοις, οὐ παρ-
οξύνειν, ἀποτρέπειν δὲ μᾶλλον αὐτοῖς ἦν προσῆκον
Λακεδαιμονίους ἐπὶ Πολυκράτη στρατευομένους, ὅπως
μὴ τοῦ τυράννου καταλυθέντος ἐλεύθεροι Σάμιοι γένοιντο, B
καὶ παύσαιντο δουλεύοντες. Ὃ δὲ μέγιστόν ἐστι, τί δή-
ποτε Κορίνθιοι Σαμίοις μὲν ὠργίζοντο βουληθεῖσι καὶ μὴ
δυνηθεῖσι σῶσαι τοὺς Κερκυραίων παῖδας, Κνιδίοις δὲ τοῖς
σώσασι καὶ ἀποδιδοῦσιν οὐκ ἐνεκάλουν; Καί τοι Κερκυ-
ραῖοι Σαμίων μὲν ἐπὶ τούτῳ λόγον οὐ πολὺν ἔχουσι,
Κνιδίων δὲ μέμνηνται, καὶ Κνιδίοις εἰσὶ τιμαὶ καὶ ἀτέλειαι
καὶ ψηφίσματα παρ' αὐτοῖς· οὗτοι γὰρ ἐπιπλεύσαντες ἐξή-
λασαν ἐκ τοῦ ἱεροῦ τοὺς Περιάνδρου φύλακας, αὐτοὶ δὲ
ἀναλαβόντες τοὺς παῖδας εἰς Κέρκυραν διεκόμισαν, ὡς
Ἀντήνωρ τε ὁ Κρητικὸς ἱστόρηκε, καὶ Διονύσιος ὁ Χαλκι- C
δεὺς ἐν ταῖς Κτίσεσιν. Ὅτι δὲ οὐ τιμωρούμενοι Σα-

A. 10. ὅπως μὴ] Sic E. Vulgo, ὅπως μηδέ.
B. 7. μέμνηνται] Sic B. E. Baſ. Xyl. Mez. Vulgo, μέμνηται.

juria. Qualis vero pœna Corinthiorum de Samiis expetitur? Atqui, ſi vere iraſcebantur Samiis, non inſtigare, ſed dehortari potius Lacedæmonios ab expeditione in Polycratem debuerunt; ne tyranno dejecto Samii unquam libertatem recipere poſſent. Quod autem maximum est, cur tandem Corinthii Samiis iraſcebantur qui voluerunt, non potuerunt etiam, ſervare Corcyræorum pueros: Cnidios, qui ſervaverunt eos et reddiderunt, non culpant? Et quidem hac de re Corcyræi non magnam habent Samiorum rationem: Cnidiorum meminerunt, hiſque ſunt apud ipſos honores, immunitates, et decreta; nam hi navibus advecti, cuſtodes Periandri e templo expulerunt, pueroſque ad ſe receptos Corcyram pervexerunt: ut Antenor Cretenſis perhibet, ac Dionyſius Chalcidenſis libro de Origine Urbium. Non autem ulciſcendi Samios, ſed a tyranno

μίους, ἀλλ' ἐλευθεροῦντες ἀπὸ τοῦ τυράννου καὶ σώζοντες ἐστράτευσαν οἱ Λακεδαιμόνιοι, Σαμίοις αὐτοῖς ἔστι χρήσασθαι μάρτυσιν. Ἀρχίᾳ γὰρ ἀνδρὶ Σπαρτιάτῃ λαμπρῶς ἀγωνισαμένῳ τότε, καὶ πεσόντι, τάφον εἶναι δημοσίᾳ κατεσκευασμένον ἐν Σάμῳ, καὶ τιμώμενον ὑπ' αὐτῶν, λέγουσι· διὸ καὶ τοὺς ἀπογόνους τοῦ ἀνδρὸς ἀεὶ διατελεῖν Σαμίοις οἰκείως καὶ φιλανθρώπως προσφερομένους, ὡς αὐτὸς Ἡρόδοτος ταῦτα γοῦν ἀπομεμαρτύρηκεν.

κγ'. Ἐν δὲ τῇ πέμπτῃ, τῶν ἀρίστων Ἀθήνησι καὶ πρώ-
των ἀνδρῶν "Κλεισθένη μὲν ἀναπεῖσαι," φησὶ, "τὴν Πυ-
D "θίαν ψευδόμαντιν γενέσθαι, προφέρουσαν ἀεὶ Λακεδαι-
"μονίοις ἐλευθεροῦν ἀπὸ τῶν τυράννων τὰς Ἀθήνας·" καλ-
λίστῳ μὲν ἔργῳ καὶ δικαιοτάτῳ προσάπτων ἀσεβήματος
διαβολὴν τηλικούτου καὶ ῥᾳδιουργήματος, ἀφαιρούμενος
δὲ τοῦ θεοῦ μαντείαν καλὴν καὶ ἀγαθὴν, καὶ τῆς λεγο-
μένης συμπροφητεύειν Θέμιδος ἀξίαν· "Ἰσαγόραν δὲ
"τῆς γαμετῆς ὑφίεσθαι Κλεομένει φοιτῶντι παρ' αὐ-
"τήν·" ὡς δὲ εἰώθει, παραμιγνὺς πίστεως ἕνεκα τοῖς

liberandi caussa Spartanos expeditionem suscepisse, ipsis Samiis testibus potest doceri. Tradunt enim, Archiæ Spartano, cum is fortissime tum pugnans cecidisset, sepulchrum in Samo publice factum, idque a se honoribus affici: ideoque posteros etiam ejus semper cum Samiis familiariter atque humaniter agere: quod ipsum quidem Herodotus quoque testatus est.

XXIII. Idem libro quinto de præstantissimis Atheniensium ac principibus viris *Clisthenem*, ait, *Pythiæ persuasisse, ut Spartanis semper falsa oracula redderet, quibus juberentur Athenas a tyrannis liberare:* facto pulcherrimo et justissimo tantam sceleris ac imposturæ annectens calumniam: Deoque adimens vaticinium bonum atque verum, et dignum Themide quæ ei adsidere dicitur. Ait præterea, *conjugis suæ abusum permisisse Isagoram Cleomeni ad eam ventitanti:* et more suo

ψόγοις ἐπαίνους τινάς, “ Ἰσαγόρας δὲ,” φησὶν, “ ὁ Τι- E
“ σάνδρου οἰκίης μὲν ἦν δοκίμου, ἀτὰρ τὰ ἀνέκαθεν οὐκ
“ ἔχω φράσαι, θύουσι δὲ οἱ συγγενέες αὐτοῦ Διὶ Καρίῳ.”
Εὔρυθμός τε καὶ πολιτικὸς ὁ μυκτὴρ τοῦ συγγραφέως,
εἰς Κᾶρας ὥσπερ εἰς κόρακας ἀποδιοπομπουμένου τὸν
Ἰσαγόραν. Ἀριστογείτονα μέντοι οὐκ ἔτι κύκλῳ καλῶς,
ἀλλὰ ἄντικρυς διὰ πυλῶν εἰς Φοινίκην ἐξελαύνει, “ Γε-
“ φυραῖον γεγονέναι λέγων ἀνέκαθεν· τοὺς δὲ Γεφυραίους
“ οὐκ ἀπ᾽ Εὐβοίας, οὐδ᾽ Ἐρετριεῖς, ὥσπερ οἴονταί τινες,
“ ἀλλὰ Φοίνικας εἶναι, φησὶν, αὐτὸς οὕτω πεπεισμένος.” F
Ἀφελέσθαι τοίνυν Λακεδαιμονίους μὴ δυνάμενος τὴν
Ἀθηναίων ἐλευθέρωσιν ἀπὸ τῶν τυράννων, αἰσχίστῳ πάθει
κάλλιστον ἔργον οἷός τ᾽ ἐστὶν ἀφανίζειν καὶ καταισχύνειν.
“ Ταχὺ γὰρ μετανοῆσαι,” φησὶν, “ αὐτοὺς ὡς οὐ ποιή-
“ σαντας ὀρθῶς, ὅτι κιβδήλοισι μαντηΐοισιν ἐπαρθέντες

E. 4. Εὔρυθμός τε] τε mutandum in γε, ut et Reisk. monuit.

E. 6. καλῶς] Aut delendum, aut mutandum in melius, quod nunc probabile quidem non suppetit: an κύκλῳ πως?

F. 1. πεπεισμένος] Probabilius est πεπυσμένος ut Reisk. et jam vertit Xyl. ad auctoritatem Herodoti, V, 57.

fidei parandæ gratia admiscens vituperationibus laudes aliquas: *Isagoras*, inquit, *Tisandri filius familia fuit natus nobili, sed originem ejus non habeo dicere: cognati quidem ejus Jovi Cario sacrificant.* O hominem versuto et civili naso, qui ad Cares tanquam corvos Isagoram abominando rejiciat. Aristogitonem vero non oblique jam, sed recta portis ejectum in Phœniciam proturbat, *a Gephyræis originem eum trahere* inquiens: *esse autem Gephyræos non ex Eubœa aut Eretrienses, sed Phœnices: ut quidem ipse auditu acceperit.* Sed cum Atheniensium a tyrannis liberationem adimere Lacedæmoniis non posset; audet turpissimo affectu pulcherrimum facinus conspurcare. *Mox enim*, ait, *Spartanos correptos fuisse pœnitentia, quod adulte-*

“ ἄνδρας ξείνους ὄντας αὐτοῖσι, καὶ ὑποσχομένους ὑπο-
“ χειρίας παρέξειν τὰς Ἀθήνας, ἐξήλασαν ἐκ τῆς
“ πατρίδος τοὺς τυράννους, καὶ δήμῳ ἀχαρίστῳ παρέ-
“ δωκαν τὴν πόλιν. Εἶτα μεταπεμψαμένους Ἱππίαν
“ ἀπὸ Σιγείου κατάγειν εἰς τὰς Ἀθήνας· ἀντιστῆναι δὲ
“ Κορινθίους αὐτοῖς, καὶ ἀποστρέψαι, Σωκλέους διελθόν-
“ τος ὅσα Κύψελος καὶ Περίανδρος κατὰ τὴν Κορινθίων πό-
61 “ λιν εἰργάσαντο τυραννοῦντες.” Καίτοι Περιάνδρου χαλ-
λιώτερον οὐδὲ ὠμότερον ἔργον οὐδὲν ἱστορεῖται τῆς ἐκ-
πομπῆς τῶν τριακοσίων ἐκείνων, οὓς ἐξαρπάσασι καὶ
διακωλύσασι παθεῖν ταῦτα Σαμίοις ὀργίζεσθαί φησι
καὶ μνησικακεῖν Κορινθίους ὥσπερ ὑβρισθέντας. Τοσαύτης
ἀνάπλεών ἐστι ταραχῆς καὶ διαφωνίας τὸ κακόηθες αὐτοῦ
τῶν λόγων, ἐξ ἁπάσης τῇ διηγήσει προφάσεως ὑποδυόμενον.

F. 8. παρέξειν] Sic B. E. T. V. Anon. ut Herodot. V, 91. Vulgo, πράξειν.
F. 12. Σωκλέους] Rectius Σωσικλέος Anon. ut Herodot. V, 92. Una Græco-Lat. media anni 1620, Σοσικλέος.
F. 13. κατὰ τὴν Κορινθίων] Ita omnes libri: nec tamen non legendum κατὰ τὴν Κορινθίων—.
A. 2. ἱστορεῖται] Sumsi ex B. E. Vulgo, εἶπας, in quo Steph. cum Baf. et Xyl. consentit. Ald. ἐστὶν εἶπας, quod ortum ex vero a nobis recepto, in ἐστὶν εἰπεῖν mutarunt Leonic. T. V. B.
A. 2. ἐκπομπῆς] Revocavi ex B. E. Ald. Baf. Xyl. Mez. Vulgo, ἐκτομῆς quod Steph. dedit ex Leonic. Schott. Anon.
A. 7. τῇ διηγήσει] τῇ addidi ex B. E.

rinis moti oraculis viros hospitio sibi junctos, promittentesque ipsis Athenas in potestatem tradituros, e patria expulissent tyrannos, ingratoque populo urbem restituissent. Voluisse deinde eos Hippiam a Sigeo revocatum Athenas perducere: sed Corinthios iis obstitisse, Soscle narrante qualia egissent Cypselus et Periander Corinthi tyrannidem gerentes. Atqui nullum atrocius aut crudelius facinus memoratur, atque ista trecentorum emissio: quos quia eripuissent Samii, ac ne castrarentur prohibuissent, ideo iis ut contumelia affectos iratos fuisse Corinthios dixerat. Tanto tumultu ac dissensione malignitas ejus plena est, in narrationes quacumque passim se insinuans occasione.

χδ'. Ἐν δὲ τοῖς ἐφεξῆς τὰ περὶ Σάρδεις διηγούμενος, ὡς ἦν μάλιστα διέλυσε καὶ διελυμήνατο τὴν πρᾶξιν· ἃς μὲν Ἀθηναῖοι ναῦς ἐξέπεμψαν Ἴωσι τιμωροὺς ἀποστᾶσι βασιλέως, ἀρχεκάκους τολμήσας προσειπεῖν, ὅτι τοσαύτας πόλεις καὶ τηλικαύτας Ἑλληνίδας ἐλευθεροῦν B
ἐπεχείρησαν ἀπὸ τῶν βαρβάρων, Ἐρετριέων δὲ κομιδῇ μνησθεὶς ἐν παρέργῳ, καὶ παρασιωπήσας μέγα κατόρθωμα καὶ ἀοίδιμον. Ἤδη γὰρ ὡς * περὶ τὴν Ἰωνίαν συγκεχυμένην, καὶ στόλου βασιλικοῦ προσπλέοντος, ἀπαντήσαντες ἔξω Κυπρίους ἐν τῷ Παμφυλίῳ πελάγει κατεναυμάχησαν· εἶτα ἀναστρέψαντες ὀπίσω, καὶ τὰς ναῦς ἐν Ἐφέσῳ καταλιπόντες, ἐπέθεντο Σάρδεσι, καὶ Ἀρταφέρνην ἐπολιόρκουν, εἰς τὴν ἀκρόπολιν καταφυγόντα, βουλόμενοι τὴν Μιλήτου λῦσαι πολιορκίαν· καὶ τοῦτο μὲν C
ἔπραξαν, καὶ τοὺς πολεμίους ἀνέστησαν ἐκεῖθεν ἐν φόβῳ θαυμαστῷ γενομένους· πλήθους δὲ ἐπιχυθέντος αὐτοῖς ἀπε-

B. 4. ὡς * περὶ] Omnes libri vacuum hic habent, B. et E. quidem trium fere literarum: ergo forte corrigendum, ὡς τῶν περὶ τὴν Ἰωνίαν συγκεχυμένων. Anon. et Valcken. ad Herod. V, 99. item T. V. ὥσπερ περὶ τῆς Ἰωνίας συγκεχυμένης. Xyl. pro ἤδη dedit ᾔδει.

XXIV. In sequentibus, Sardibus gesta narrans, quantum potuit rem luxavit atque corrupit: naves, quas Athenienses Ionibus qui a rege defecerant tutandis miserunt, ausus *malorum* vocare *initium*, quod tot tantasque Græcas urbes a barbaris liberare conarentur: Eretriensium autem obiter admodum faciens mentionem, magnumque eorum et præclarum facinus reticens, ac memorabile. Jam enim ut turbatis Ioniæ rebus, classe regia adnavigante, foras obviam euntes, Cyprios in mari Pamphylio pugna navali devicerunt. Post hæc retro conversi, navibus apud Ephesum relictis, Sardes adorti sunt, et Artaphernem, qui in arcem confugerat, obsederunt, ut Miletum obsidione liberarent: quod et consecuti sunt, hostesque mirabili terrore perculsos inde amoverunt: ipsi, multitudine obrutum se iri viden-

χώρησαν. Ταῦτα δὲ ἄλλοι τε καὶ Λυσανίας ὁ Μαλλώτης ἐν τοῖς περὶ Ἐρετρίας εἴρηκε· καὶ καλῶς εἶχεν, εἰ καὶ διὰ μηδὲν ἄλλο, τῇ γοῦν ἁλώσει καὶ φθορᾷ τῆς πόλεως ἐπειπεῖν τὸ ἀνδραγάθημα τοῦτο καὶ τὴν ἀριστείαν· ὁ δὲ καὶ κρατηθέντας αὐτοὺς ὑπὸ τῶν βαρβάρων, φησὶν, εἰς τὰς ναῦς καταδιωχθῆναι, μηδὲν τοιοῦτο τοῦ Λαμψακηνοῦ Χάρωνος ἱστοροῦντος, ἀλλὰ ταυτὶ γράφοντος κατὰ λέξιν· “ Ἀθηναῖοι δὲ εἴκοσι τριήρεσιν ἔπλευσαν ἐπικουρή-
D “ σοντες τοῖς Ἴωσι, καὶ εἰς Σάρδεις ἐστρατεύσαντο· καὶ εἷλον “ τὰ περὶ Σάρδεις ἅπαντα, χωρὶς τοῦ τείχους τοῦ βασιληΐου· “ ταῦτα δὲ ποιήσαντες ἐπαναχωροῦσιν εἰς Μίλητον.”

κέ. Ἐν δὲ τῇ ἕκτῃ διηγησάμενος περὶ Πλαταιέων, ὡς σφᾶς αὐτοὺς ἐδίδοσαν Σπαρτιάταις, οἱ δὲ μᾶλλον ἐκέλευσαν πρὸς Ἀθηναίους τρέπεσθαι πλησιοχώρους ὄντας ἑαυτοῖς, καὶ τιμωρέειν οὐ κακοὺς, προστίθησιν, οὐ καθ᾿ ὑπόνοιαν οὐδὲ δόξαν, ἀλλ᾿ ὡς ἀκριβῶς ἐπιστάμενος, ὅτι ταῦτα συνεβούλευον οἱ Λακεδαιμόνιοι οὐ κατ᾿ εὔνοιαν τῶν Πλα-

D. 9. εὔνοιαν] οὕτω addit Mez. et Reisk. ex Herodoto VI, 108.

tes, recesserunt. Hæc cum alii, tum Lysanias Mallotes in opere de Eretria scripserunt: et conveniebat, si nulla alia de caussa, saltem excidio urbis ejus et interitui accinere memorandum isthuc et præclarum facinus. Herodotus vero etiam *victos a barbaris eos in naves* ait *confugisse insequente hoste*: cum nihil tale Lampsacenus prodiderit Charo, cujus sunt verba: *Athenienses autem viginti triremibus navigarunt, ut auxilium ferrent Ionibus, et ad Sardes expeditione facta, omnia circa eam urbem ceperunt, excepta munitione regia: his actis Miletum reverterunt.*

XXV. Porro in sexto libro Herodotus narrans quomodo Platæenses Spartanis sese dediderint, illi vero eos ad Athenienses ablegaverint, utpote finitimos, et defensores non malos, addit non quasi suspicionem aut opinionem, sed tanquam rem sibi compertam, *Lacedæmonios non ita*

ταμιεῖον, ὡς βουλόμενοι τοὺς Ἀθηναίους ἔχειν πόνους συνεστῶτας Βοιωτοῖς. Οὐκοῦν εἰ μὴ κακοήθης Ἡρόδοτος, ἐπίβουλοι μὲν καὶ κακοήθεις Λακεδαιμόνιοι, ἀνόητοι δὲ Ἀθηναῖοι παρακρουσθέντες, Πλαταιεῖς δὲ οὐ κατ᾽ εὔνοιαν, οὐδὲ τιμὴν, ἀλλὰ πολέμου πρόφασις εἰς μέσον ἐῤῥίφησαν.

κϛ΄. Καὶ μὴν τὴν πανσέληνον ἤδη σαφῶς ἐξελήλεγκται Λακεδαιμονίων καταψευδόμενος, ἥν φησι περιμένοντας αὐτοὺς εἰς Μαραθῶνα μὴ βοηθῆσαι τοῖς Ἀθηναίοις· οὐ γὰρ μόνον ἄλλας μυρίας ἐξόδους καὶ μάχας πεποίηνται μηνὸς ἱσταμένου, μὴ περιμείναντες τὴν πανσέληνον, ἀλλὰ καὶ ταύτης τῆς μάχης, ἕκτης Βοηδρομιῶνος ἱσταμένου γενομένης, ὀλίγον ἀπελείφθησαν, ὥστε καὶ θεάσασθαι τοὺς νεκροὺς ἐπελθόντας ἐπὶ τὸν τόπον. Ἀλλ᾽ ὅμως ταῦτα περὶ τῆς πανσελήνου γέγραφεν· " Ἀδύ-

E. 2. παρακρουσθέντες] Sic B. E. Anon. T. V. Xyl. Mez. Vulgo, παρακαυσθέντες.

E. 10. ἕκτης] Legendum ἕκτῃ cum Reisk.

istud consilium benevolentia erga Plataeenses, ut studio laborem Atheniensibus incutiendi, rem cum Bœotis habituris, dedisse. Proinde, nisi malignus est Herodotus, insidiatores fuerunt et maligni Spartani: stulti autem Athenienses, ita sibi imponi qui sinerent: Plataeenses vero non honoris aut benevolentiae caussa, sed ut belli futuri ansa, in medium projecti sunt.

XXVI. Jam vero manifesti convincitur mendacii de illo plenilunio, cujus exspectatione Lacedæmonios Atheniensibus ad Marathoniam pugnam non venisse auxiliatum, scribit. Non enim modo sexcenties alias illi exercitum eduxerunt et signa contulerunt initio mensis, non præstolati plenilunium: et parum abfuit quin ad hanc pugnam, sexta Boëdromionis die commissam, venirent; adeo ut cadavera etiam spectaverint ad locum prælii jam præsentes. Et tamen Herodotus de plenilunio

« νατα δέ σφιν τὸ παραυτίκα ποιέειν ταῦτα, οὐ βουλο-
« μένοισι λύειν τὸν νόμον· ἦν γὰρ ἱσταμένου τοῦ μηνός
« ἐνάτη δὲ οὐκ ἐξελεύσεσθαι ἔφασαν, οὐ πλήρεος ἐόν-
« τος τοῦ κύκλου. Οὗτοι μὲν οὖν τὴν πανσέληνον ἔμενον."
Σὺ δὲ μεταφέρεις τὴν πανσέληνον εἰς ἀρχὴν μηνὸς, διχομηνίας οὔσης, καὶ τὸν οὐρανὸν ὁμοῦ καὶ τὰς ἡμέρας καὶ πάντα πράγματα συνταράσσεις· καὶ τὰ τῆς Ἑλλά-
62 δος ἐπαγγελλόμενος γράφειν. * Ἐσπουδακὼς δὲ περὶ τὰς Ἀθήνας διαφερόντως, οὐδὲ τὴν πρὸς Ἄγρας πομπὴν ἱστόρηκας, ἣν πέμπουσιν ἔτι νῦν τῇ Ἑκάτῃ χαριστήρια τῆς νίκης ἑορτάζοντες. Ἀλλὰ τοῦτό γε βοηθεῖ τῷ Ἡροδότῳ πρὸς ἐκείνην τὴν διαβολὴν, ἣν ἔχει κολακεύσας τοὺς

F. 5. μηνός· ἐνάτῃ δὲ] Xyl. Mez. similiter Reisk. corrigunt, μηνὸς εἰνάτῃ, εἰνάτῃ δὲ ex Herod. VI, 106.

F. 9. οὔσης] Legendum οὔσαν, sententiam assecutus est Corsinus Fast. Att. Vol. I. p. 60. Reiskius etiam verbi correctionem vidit. Abest in Ald. Bas. Xyl. E. ex B. nil notatum varietatis a vulgata. Addidit Leonic. Schott. Anon. Ergo et ἐκ διχομηνίας καὶ τ. poterat corrigi. Aliter variant T. V. B. μηνὸς καὶ διχομηνίας οὔσης καί.

A. 1. γράφειν. *] Lacunam habent omnes libri: quam T. V. Anon. Amiot. his verbis explent, τὰ τῶν βαρβάρων ἐπαίρεις τῷ λόγῳ, ex conjectura, si quid video. Forte locus restituatur, καὶ ταῦτα τὰ τῆς Ἑλλάδος ἐπαγγελλόμενος γράφειν.

A. 2. Ἄγρας—ἑορτάζοντες] In hac lectione non est quod ad sententiam desideretur: tamen Plutarchi consilium postulare videtur, ut pro τῇ Ἑκάτῃ legatur τῇ ἕκτῃ: idque unum satis est assumere ex Valckenarii conjectura ad Herodot. VI, 109.

ista scripsit: *Non poterant vero isto hæc tempore facere, quia violare legem nolebant: erat enim nona mensis dies: qua die exire sibi licere negabant, orbe Lunæ non pleno: itaque plenilunium operiebantur.* Tu quidem, Herodote, plenilunium, quod est medio mense, transfers in mensem ineuntem: unoque conatu cœlum, tempora, et res omnes conturbas; professus te res Græcas scribere. Maxime autem Atticis rebus operam impendens, ne pompam quidem cognovisti, quam solennem etiamnum Athenienses ad Agras mittunt, gratias Hecate pro victoria agentes. Verum hoc facit pro Herodoto adversus crimen quod ei objicitur, mag-

Ἀθηναίους, ἀργύριον πολὺ λαβεῖν παρ' αὐτῶν. Εἰ γὰρ ἀνέγνω ταῦτα Ἀθηναίοις, οὐκ ἂν εἴασαν οὐδὲ παρελθεῖν ἐναγῆ τὸν Φιλιππίδην παρακαλοῦντα Λακεδαιμονίους ἐπὶ τὴν μάχην ἐκ τῆς μάχης γεγενημένον, καὶ ταῦτα, δευτεραῖον εἰς Σπάρτην ἐξ Ἀθηνῶν, ὥς αὐτός φησιν, ἀφιγμένον· εἰ μὴ μετὰ τὸ νικῆσαι τοὺς πολεμίους Ἀθηναῖοι μετεπέμποντο τοὺς συμμάχους. Ὅτι μέντοι δέκα τάλαντα δωρεὰν ἔλαβεν ἐξ Ἀθηνῶν Ἀνύτου τὸ ψήφισμα γράψαντος, ἀνὴρ Ἀθηναῖος οὐ τῶν παρημελημένων ἐν ἱστορίᾳ Δίυλλος εἴρηκεν. Ἀπαγγείλας δὲ τὴν ἐν Μαραθῶνι μάχην ὁ Ἡρόδοτος, ὡς μὲν οἱ πλεῖστοι λέγουσι, καὶ τῷ τῶν νεκρῶν ἀριθμῷ καθεῖλε τὸ ἔργον. Εὐξαμένους γάρ, φασί, τοὺς Ἀθηναίους τῇ Ἀγροτέρᾳ θύσειν χιμάρους ὅσους ἂν τῶν βαρβάρων καταβάλωσιν, εἶτα μετὰ τὴν μάχην ἀναρίθμου πλήθους τῶν νεκρῶν ἀναφανέντος, παραιτεῖσθαι

A. 7. ἐναγῆ] Immo ἐνάτῃ : in verſione quidem ita correxi.
B. 4. Ἀνύτου] Ita recepi a Baſ. Xyl. Amiot. Turneb. Vulgo, et ceteri omnes libri, ἀντὶ τοῦ.
B. 8. φασί] Sic Mez. et item corrigit Valcken. ad Herodot. VI, 109. Vulgo, φησί: quod viros doctos de hoc argumento ſcribentes in errorem induxit.

nam eum ab Athenienſibus propter adulationem accepiſſe pecuniam. Si enim his iſta recitaſſet, non omiſiſſent aut neglexiſſent locum de Phidippida, qui nona menſis die e pugna veniens Lacedæmonios ad pugnam vocaret, biduo quidem, ut ipſe ait, Athenis Spartam profectus: niſi forte Athenienſes devictis hoſtibus ad pugnam demum ſocios vocaverunt. Sane decem talenta Athenis dono veniſſe ipſi, Anyto rogationis auctore, Diyllus ſcripſit Athenienſis, homo in hiſtoria non contemnendus. Narranda porro Marathonia pugna Herodotus, ut plerique aiunt, ipſo occiſorum numero rei magnitudinem evertit. Scribunt enim Athenienſes Dianæ Agroteræ ſeu Agreſti voviſſe tot hædorum victimam, quot barbarorum corpora ſtraviſſent: poſt pugnam autem, cum immenſus videretur occiſorum numerus,

C ψηφίσματι τὴν θεὸν, ὅπως καθ' ἕκαστον ἐνιαυτὸν ἀποθύωσι πεντακοσίας τῶν χιμάρων.

κζ'. Οὐ μὴν ἀλλὰ τοῦτο ἐάσαντες, ἴδωμεν τὰ μετὰ τὴν μάχην. "Τῇσι δὲ λοιπῇσιν οἱ βάρβαροι ἐξανακρουσάμενοι, καὶ ἀναλαβόντες ἐκ τῆς νήσου ἐν ᾗ ἔλιπον τὰ ἐξ Ἐρετρίης ἀνδράποδα, περιέπλεον Σούνιον, βουλόμενοι φθῆναι τοὺς Ἀθηναίους ἀφικομένους εἰς τὸ ἄστυ· αἰτίην δὲ ἔσχον Ἀθηναίοισιν ἐξ Ἀλκμαιωνιδέων μηχανῆς αὐτοὺς ταῦτα ἐπινοηθῆναι· τούτους γὰρ συνθεμένους τοῖσι Πέρσῃσιν ἀναδεῖξαι ἀσπίδα ἐοῦσιν ἤδη ἐν τῇσι νηυσί· οὗτοι μὲν δὴ περιέπλεον Σούνιον." Ἐνταῦθα τὸ μὲν τοὺς Ἐρετριέας ἀνδράποδα προσειπεῖν, D οὔτε τόλμαν Ἑλλήνων οὐδενὸς, οὔτε φιλοτιμίαν ἐνδεεστέραν παρασχομένους, καὶ παθόντας ἀνάξια τῆς ἀρετῆς, ἀφείσθω· διαβεβλημένων δὲ τῶν Ἀλκμαιωνιδῶν, ἐν οἷς οἱ μέγιστοί τε τῶν οἴκων, καὶ δοκιμώτατοι τῶν ἀνδρῶν ἦσαν,

C. 3. τὰ μετὰ τὴν μάχην.] τὰ recepi ab Anon. T. V. Mez. Vulgo abest.
C. 7. ἀφικομένους] Legendum, ἀφικόμενοι ex Herod. VI, 116: et monuit Reisk. In E. est parva lacuna paucis punctis notata ἀφικομενο...

decreto hoc Deam placasse, ut quotannis quingentos se immolaturos promitterent.

XXVII. Verum his omissis, videamus acta post pugnam. *Reliquis*, inquit, *navibus retro actis barbari, receptis ex insula ubi reliquerant mancipiis Eretriensibus, Sunium flexerunt, cupientes Athenienses suo in astu adventu antevertere. Suspicabantur Athenienses id fieri Alcmaeonidarum machinatione, qui de composito scutum Persis ostendissent, cum jam essent in navibus. Hi ergo flectebant Sunium.* Hoc loco id dissimulemus, quod Eretrienses *mancipia* nominat, quibus nemo Graecorum majore audacia ac studio remegessit, indigna passos sua virtute. Neque adeo magnam habeamus rationem calumniae Alcmaeonidis intentatae, e quibus et familiae maximae constabant,

ἐλάττων λόγος· ἀνατέτραπται δὲ τῆς νίκης τὸ μέγεθος, καὶ τὸ τέλος εἰς οὐδὲν ἥκει τοῦ περιβοήτου κατορθώματος, οὐδ' ἀγών τις ἔοικεν οὐδ' ἔργον γεγονέναι τοσοῦτον, ἀλλὰ πρόσκρουσμα βραχὺ τοῖς βαρβάροις ἀποβᾶσιν, ὥσπερ οἱ διασύροντες καὶ βασκαίνοντες λέγουσιν, εἰ μετὰ τὴν μάχην οὐ φεύγουσι κόψαντες τὰ πείσματα τῶν νεῶν τῷ φέροντι προσωτάτω τῆς Ἀττικῆς ἀνέμῳ παραδόντες E
αὑτούς· ἀλλ' αἴρεται μὲν ἀσπὶς αὐτοῖς προδοσίας σημεῖον, ἐπιπλέουσι δὲ ταῖς Ἀθήναις ἐλπίζοντες αἱρήσειν, καὶ καθ' ἡσυχίαν Σούνιον κάμψαντες ὑπεραιωροῦνται Φαλήρου, οἱ δὲ πρῶτοι καὶ δοκιμώτατοι τῶν ἀνδρῶν * ἀπεγνωκότες τὴν πόλιν· καὶ γὰρ ἀπολύων ὕστερον Ἀλκμαιωνίδας, ἑτέροις τὴν προδοσίαν ἀνατίθησιν· « ἀνεδείχθη μὲν γὰρ « ἀσπίς, καὶ τοῦτο οὐκ ἔστιν ἄλλως εἰπεῖν » φησίν, αὐτὸς

E. 5. ἀνδρῶν—ἀπεγνωκότες] Lacuna forte explenda, ἀνδρῶν, ἢ καὶ δὴ ἄλλοι, συνέθεντο πρὸς αὐτοὺς ὡς ἤδη ἀπεγνωκότες τὴν πόλιν. Alii aliter corrigunt, de quibus suo loco. Illud verti.

E. 8. αὐτὸς ἰδὼν] Aut, supplendum ὡς, ut verti: aut, per cavillationem dictum putandum.

et nobilissimi viri celebrantur. Ipsius certe victoriæ de magnitudine actum est, finisque tam decantati facinoris ad nihilum redit, neque videtur certamen fuisse aut magnum aliquod opus: sed barbaris, quod invidi aiunt, rem istam traducentes, levis quædam accidisse offensio et exiguum incommodum; si quidem a pugna non fugerunt præcisis retinaculis, vento se quam longissime ab Attica provehenti dantes: sed sublato scuto proditionis tessera, Athenas classe petunt spe capiendi, et per otium Sunio circumnavigato, supra Phalerum in alto naves detinent: primi autem et illustrissimi viri, aut alii, quicumque tandem ii fuerunt, urbe desperata, cum Persis pacisci student. Nam paulo post crimine Alcmæonidas solvit, aliosque proditionis reos facit. *Nam scutum sublatum certe fuit: neque aliter dicere licet.* Hoc ac si ipse vidisset, dicit Herodotus. Fieri autem po-

F ἰδών. Τοῦτο δὲ ἀμήχανον μὲν ἦν γενέσθαι νενικηκότων κατὰ
κράτος τῶν Ἀθηναίων· γενόμενον δ᾽ οὐκ ἂν ὑπὸ τῶν
βαρβάρων συνώφθη, φυγῇ καὶ πόνῳ πολλῷ καὶ τραύ-
μασι καὶ βέλεσιν εἰς τὰς ναῦς ἐλαυνομένων, καὶ ἀπολι-
πόντων τὸ χωρίον, ὡς ἕκαστος τάχους εἶχεν. Ἀλλ᾽ ὅταν γε
πάλιν ὑπὲρ τῶν Ἀλκμαιωνιδῶν ἀπολογεῖσθαι προσποι-
ούμενος, ἃ πρῶτος ἀνθρώπων ἐπενήνοχεν ἐγκλήματα εἴη.
* καὶ οὐκ ἐνδέχομαι τὸν λόγον, "Ἀλκμαιωνίδας ἂν
" ποτε ἀναδεῖξαι Πέρσῃσιν ἐκ συνθήματος ἀσπίδα,
" βουλομένους γε εἶναι Ἀθηναίους ὑπὸ Ἱππίῃ," κόμ-
ματός τινος ἀναμιμνήσκομαι παροιμιακοῦ,

Μένε, Καρκῖνε, καί σε μεθήσω·
Τί γὰρ ἐσπούδακας καταλαβεῖν,
Εἰ καταλαβὼν μεθιέναι μέλλεις;

63 Καὶ σὺ κατηγορεῖς, εἶτα ἀπολογῇ· καὶ γράφεις κατὰ

F. 7. εἴη—ἢ οὐκ] Supplendum et corrigendum, εἴπῃ, "Θαῦμα δέ μοι, ἢ οὐκ ἐνδέχομαι τὸν λόγον, ex Herod. VI, 121.

F. 8. ἐνδέχομαι] Sic B. E. Vulgo, ἐνδέχουσαι.

F. 10. γε εἶναι] γε, ut rectius vulgato δὲ, recepi ex B. E. Aliter Herodotus.

F. 11. παροιμιακοῦ—ἐσπούδακας] Hæc ita ſupplevimus et expreſſimus ex B. E. Vulgo abſunt.

tuit nullo modo, cum Athenienſes ſolidam obtinuiſſent victoriam: et ſi factum fuiſſet, conſpici a barbaris non potuit, fuga magnoque labore inter vulnera et tela in naves ſe proripientibus, et locum quanta quiſque celeritate poterat deſerentibus. Sed ubi rurſum Alcmæonidas a ſe excuſari ſimulans iis de criminibus, quæ primus ipſe hominum ipſis objecit, ſic loquitur,

Ego autem hunc ſermonem non admitto, Alcmæonidas Perſis de compoſito clypeum extuliſſe, ac voluiſſe Athenienſes in barbarorum et Hippiæ poteſtatem dedere: cujuſdam recordor verſus proverbialis,

Exſpecta, Cancer, et te dimittam!
Quid ſtudes me deprehendere;
Si deprehenſum dimittere vis?

Ita enim accuſas, mox patrocinaris: calumniaſque de viris

ἐπιφανῶν ἀνδρῶν διαβολὰς ἃς πάλιν ἀναιρεῖς, ἀπιστῶν
δὲ σεαυτῷ δηλονότι· σεαυτοῦ γὰρ ἀκήκοας λέγοντος,
Ἀλκμαιωνίδας ἀνασχεῖν ἀσπίδα νενικημένοις καὶ φεύγουσι
τοῖς βαρβάροις. Καὶ μὴν ἐν οἷς περὶ Ἀλκμαιωνιδῶν
ἀπολογῇ, σεαυτὸν ἀποφαίνεις συκοφάντην· εἰ γὰρ "μᾶλ-
"λον ἢ ὁμοίως Καλλίῃ τῷ Φαινίππου, Ἱππονίκου πατρὶ,
"φαίνονται μισοτύραννοι ἐόντες," ὡς ἐνταῦθα γράφεις,
Ἀλκμαιωνίδαι, ποῦ θήσεις αὐτῶν ἐκείνην τὴν συνω-
μοσίαν, ἣν ἐν τοῖς πρώτοις ἔγραψας; ὡς ἐπιγαμίαν
ποιησάμενοι Πεισιστράτῳ κατήγαγον αὐτὸν ἀπὸ τῆς B
φυγῆς ἐπὶ τὴν τυραννίδα, καὶ οὐκ ἂν ἐξήλασαν αὖ-
θις, ἕως διεβλήθη παρανόμως τῇ γυναικὶ μιγνύμενος.
Ταῦτα μὲν οὖν τοιαύτας ἔχει ταραχάς, τῆς Ἀλκμαι-
ωνιδῶν διαβολῆς καὶ ὑπονοίας τοῖς Καλλίου τοῦ Φαιν-
ίππου χρησάμενος ἐπαίνοις, καὶ προσάψας αὐτῷ τὸν

A. 2. ἀπιστῶν δὲ] Legendum, ἀπιστῶν γε.
A. 9. ἐκείνην τὴν] Sic B. E. Nam Ald. Baſ. ἐκείνου. Jannot. Schott. Anon. ἐκείνων, receptum a Xyl. et Steph.
B. 4. Ἀλκμαιωνιδῶν διαβολῆς] Inter has duas voces, B. E. habent ſpatium ſex fere literarum; unde ſuſpicor corrigi debere,—ταραχάς· τῆς Ἀλκμαιωνιδῶν δὲ μεταξὺ διαβολῆς—. Item fere vertit Xyl.

illuſtribus perſcribis, quas rurſum diluas: ipſe tu tibi nimirum non credens. Nam ex teipſo audiveras Alcmæonidas victis et fugientibus barbaris clypeum oſtendiſſe. Quinetiam in his ipſis quæ pro Alcmæonidis abs te dicuntur, ſycophantam te eſſe oſtendis: quippe ſi tibi *aut magis, aut non minus infenſi tyrannis videntur Alcmæonidæ quam fuerit Callias Phænippi filius, Hipponici pater*; quo loco pones conjurationem eorum, de qua in primis ſcripſeras, auxilio eos Piſiſtrato fuiſſe, eumque ab exſilio ad tyrannidem reduxiſſe, neque ante exturbaſſe, quam is cum uxore non ut fas eſt rem habere culpatus fuit? Hæc ergo hujuſmodi habent tumultus. At inter crimina Alcmæonidis intentata atque ſuſpiciones Calliam Phænippi filium laudans,

υἱὸν Ἱππόνικον, ὃς ἦν καθ' Ἡρόδοτον ἐν τοῖς πλουσιωτάτοις Ἀθηναίων, ὡμολόγησεν ὅτι μηδὲν τῶν πραγμάτων δεομένων, ἀλλὰ θεραπείᾳ καὶ χάριτι τοῦ Ἱππονίκου, τὸν Καλλίαν παρέβαλεν.

κη'. Ἐπεὶ δὲ Ἀργείους ἅπαντες ἴσασιν οὐκ ἀπειπαμένους τοῖς Ἕλλησι τὴν συμμαχίαν, ἀξιώσαντας δέ,
C ὡς μὴ Λακεδαιμονίοις ἐχθίστοις καὶ πολεμιωτάτοις οὖσι ποιοῦντες ἀεὶ τὸ προστασσόμενον ἕπωνται, καὶ τοῦτο ἄλλως οὐκ ἦν, αἰτίαν κακοηθεστάτην ὑποβάλλεται, γράφων, "Ἐπεὶ δὲ σφέας καταλαμβάνει τοὺς Ἕλληνας "αὐτὸ δὴ ἐπισταμένους, ὅτι οὐ μεταδώσουσι τῆς ἀρχῆς "Λακεδαιμόνιοι, μεταιτέειν, ἵν' ἐπὶ προφάσεως ἡσυχίαν "ἄγωσι." Τούτων δὲ ὕστερον ἀναμνῆσαι φησὶν Ἀρταξέρξην ἀναβάντας εἰς Σοῦσα πρέσβεις Ἀργείων, κἀκεῖνον εἰπεῖν ὡς, "οὐδεμίαν νομίζοι πόλιν Ἄργεος φιλιωτέρην" εἶτα

B. 10. παρέβαλεν] Legendum, παρενέβαλεν, ut monitum jam a Reisk. et Valcken. ad Herod. VI, 121.

C. 4. καταλαμβάνει] Legendum, παραλαμβάνειν, ex Herod. VII, 150.

eique filium Hipponicum adjungens, qui, ipso teste, fuit unus de ditissimis Atheniensium, fassus est se non re quicquam isthuc exigente, sed Hipponici demerendi gratia, Calliam narrationi ingessisse.

XXVIII. Cum autem nemo nesciat Argivos societatem et auxilia Græcis nequaquam denegasse, quando petiverunt ne semper Lacedæmoniorum, quos habebant sibi infestissimos hostes, cogerentur dicto esse audientes si sequerentur; caussam Herodotus malignissime excogitatam subjicit, sic scribens: *Postquam vero se in societatem adsciſci viderunt a Græcis Argivi, tum recusaverunt, ut quiescendi prætextum haberent: cum satis scirent a Spartanis se in partem imperii admissum non iri.* Et ait, *Artaxerxem postea temporis ab Argivorum legatis, cum ad eum Susa venissent, hac de re fuisse admonitum, eumque dixisse, nullam se urbem magis sibi amicam censere, quam Argos.*

ὑπειπὼν, ὥσπερ εἴωθε, καὶ ἀναδυόμενος, "οὐκ εἰδέναι" φησὶ, "περὶ τούτων ἀτρεκέως, εἰδέναι δ' ὅτι πᾶσιν ἀν- "θρώποις ἐστὶν ἐγκλήματα, καὶ οὐκ Ἀργείοισιν αἴσ- "χιστα πεποίηται. Ἐγὼ δὲ λέγειν ὀφείλω τὰ λεγό- D "μενα, πείθεσθαί γε μὴν οὐ παντάπασιν ὀφείλω, καί "μοι τὸ ἔπος τοῦτο ἐχέτω ἐς πάντα τὸν λόγον· ἐπεὶ καὶ "ταῦτα λέγεται, ὡς ἄρα Ἀργεῖοι ἦσαν οἱ ἐπικαλε- "σάμενοι τὸν Πέρσην ἐπὶ τὴν Ἑλλάδα, ἐπειδὴ σφίσι "πρὸς τοὺς Λακεδαιμονίους κακῶς ἡ αἰχμὴ ἑστήκει, "πᾶν δὴ βουλόμενοι σφίσι προσεῖναι τῆς παρεούσης "λύπης." Ἆρα οὖν οὐχ, ὅπερ αὐτὸς τὸν Αἰθίοπά φησι πρὸς τὰ μύρα καὶ τὴν πορφύραν εἰπεῖν; ὡς "δο- "λερὰ μὲν τὰ ἀλείμματα, δολερὰ δὲ τὰ εἵματα τῶν "Περσέων ἐστὶ," τοῦτο ἄν τις εἴποι πρὸς αὐτὸν, ὡς δο- λερὰ μὲν τὰ ῥήματα, δολερὰ δὲ τὰ σχήματα τῶν Ἡρο- E δότου λόγων,

D. 7. προσεῖναι] Herod. VII, 152, εἶναι πρό: quod hic reſtituendum erat niſi dubium eſſet an προεῖναι ſcripſerit Plutarchus.

D. 10. ἀλείμματα] Sic Exempl. Turneb. Amiot. Anon. forte eſt correctio, ſed vera tamen antiquæ lectionis Ald. Baſ. Xyl. B. E. χείματα mutatæ a Steph. in vulgatum χρώματα. Vidit et Reiſk. probavit Weſſeling. ad Herod. III, 22. a quo in dicti forma diſſentit Plutarchus.

Poſtea ſubjiciens more ſuo aliquam tergiverſationem, ait *Nihil ſe certi hac de re ſcire: hoc ſcire, neminem ſine crimine vivere, neque Argivos eſſe omnium deterrimos. Ego autem dicere hæc*, inquit, *debeo quæ dicuntur: eaque mihi ratio valeat per totum hiſtoriæ opus. Nam et hoc dicitur: ab Argivis, cum adverſus Lacedæmonios bellum male ſuſtinerent, arceſſitum in Græciam fuiſſe Perſam, quidquid potius tolerandum ratos quam præſentem moleſtiam.* Nonne autem ſicut ipſe Æthiopem ait de unguento et purpura dixiſſe, *doloſa unguenta, doloſas veſtes eſſe Perſarum:* ita aliquis de ipſo pronunciaverit, *doloſas eſſe dictiones, doloſas dictionis Herodoteæ figuras,*

Ἑλικτὰ καὶ οὐδὲν ὑγιὲς, ἀλλὰ πᾶν πέριξ,

ὥσπερ οἱ ζωγράφοι τὰ λαμπρὰ τῇ σκιᾷ τρανώτερα ποιοῦσιν, οὕτω ταῖς ἀρνήσεσι τὰς διαβολὰς ἐπιτείνοντος αὐτοῦ, καὶ τὰς ὑπονοίας ταῖς ἀμφιβολίαις βαθυτέρας ποιοῦντος. Ἀργεῖοι δ' ὅτι .μὲν οὐ συναράμενοι τοῖς Ἕλλησιν, ἀλλὰ διὰ τὴν ἡγεμονίαν, καὶ τῆς ἀρετῆς F Λακεδαιμονίοις ἐκστάντες, κατῄσχυναν ἂν τὸν Ἡρακλέα καὶ τὴν εὐγένειαν, οὐκ ἔστιν ἀντειπεῖν. Σιφνίοις γὰρ ἦν καὶ Κυθνίοις ἄμεινον ἐλευθεροῦν τοὺς Ἕλληνας, ἢ Σπαρπάταις φιλονεικοῦντας ὑπὲρ ἀρχῆς ἐγκαταλιπεῖν τοσούτους καὶ τοιούτους ἀγῶνας. Εἰ δὲ αὐτοὶ ἦσαν οἱ ἐπικαλεσάμενοι τὸν Πέρσην ἐπὶ τὴν Ἑλλάδα, διὰ τὴν κακῶς ἑστῶσαν αὐτοῖς αἰχμὴν πρὸς Λακεδαιμονίους, πῶς οὐκ ἐμήδιζον ἀναφανδὸν ἥκοντος; οὐδ', εἰ μὴ συστρατεύειν ἐβούλοντο βασιλεῖ, τὴν γοῦν Λακωνικὴν ὑπο-

F. 1. ἐκστάντες—ἀντειπεῖν] Ita edidi ex E. Vulgo, præpoſtere, ἐκστάντες οὐκ ἔστιν ἀντειπεῖν, κατῄσχυναν ἂν τὸν Ἡρακλέα καὶ τὴν εὐγένειαν. Monuit et Reiſk.

F. 2. Σιφνίοις] Mez. Σὺν Σιφνίοις. Certe tale quid requiritur. Forte veriſimilius eſt Ὑπὸ Σιφνίοις : idque vertendo reddidi.

Perplexa, nilque ſani, ambages omnia?
qui, ſicut pictores umbris adjectis ſplendidiora faciunt quæ apparere debent, ita negando ipſas intendit calumnias, ambigendoque efficit ut ſuſpiciones altius inſideant. Argivi quidem ſi ob contentionem cum Lacedæmoniis de principatu iis cum principatu etiam virtutem ceſſerunt, neque Græcis ſe adjunxerunt, non poteſt negari quin indignos ſe Hercule geſſerint et ſua nobilitate. Præſtabat enim Argivis vel ſub ductu Siphniorum et Cythniorum Græciam liberare, quam cum Spartanis contendendo, de imperio, tot tantaque certamina ſubterfugere. Sin autem ii ſunt, qui Perſam contra Græcos acciverunt, quod bellum ipſis contra Lacedæmonios non ſatis commode ſuccederet; qui factum eſt ut Xerxe veniente non palam Medis ſe adjunxerint? aut, ſi in regis caſtra ſe noluerunt conferre, cur non Laconicam incurſio-

λειπόμενοι κακῶς ἐποίουν, ἢ Θυρέας εἵλοντο πάλιν, ἢ τρόπον ἄλλον ἀντελαμβάνοντο, καὶ παρηνώχλουν Λακεδαιμονίοις; μέγα βλάψαι δυνάμενοι τοὺς Ἕλληνας· εἰ μὴ παρῆκαν εἰς Πλαταιὰς ἐκείνους ἐκστρατεῦσαι τοσούτοις ὁπλίταις.

κθʹ. Ἀλλ' Ἀθηναίους γε μεγάλους ἐνταῦθα τῷ λόγῳ πεποίηκε, καὶ σωτῆρας ἀνηγόρευκε τῆς Ἑλλάδος· ὀρθῶς γε ποιῶν καὶ δικαίως, εἰ μὴ πολλὰ καὶ βλάσφημα προσῆν τοῖς ἐπαίνοις. Νῦν δὲ « προδοθῆναι μὲν ἂν, » λέγων, « ὑπὸ τῶν ἄλλων Ἑλλήνων Λακεδαιμονίους, μο« νωθέντας δὲ ἂν καὶ ὑποδεξαμένους ἔργα μεγάλα « ἀποθανεῖν γενναίως, ἢ πρὸ τούτου ὁρῶντας καὶ τοὺς « Ἕλληνας μηδίζοντας ὁμολογίῃ ἂν χρήσασθαι πρὸς « Ξέρξεα, » δῆλός ἐστιν οὐ τούτους λέγων εἰς τὸν Ἀθηναίων ἔπαινον, ἀλλ' Ἀθηναίους ἐπαινῶν ἵνα κακῶς εἴπῃ τοὺς B

A. 9. ὑποδεξαμένους] ἀποδεξαμένους potius legendum: itaque monent Wess. et Valck. ad Herod. VII, 39: similiter Reisk. Sententiam male acceptam Interpretibus Xyl. et Amioto, rectius verti.

A. 12. τούτους λέγων] Reisk. τούτους κακῶς λέγων, non sine specie. Lenius Anon. T. V. τοῦτο.

nibus vexarunt, ipsi domi suae relicti, aut Thyreas denuo tentaverunt, aut quovis alio modo Lacedæmonios adorti sunt, et conturbaverunt? cum sane magnum Græciæ damnum inferre potuissent, his impeditis ne cum tanto gravis armaturæ exercitu ad Platæas irent.

XXIX. Sed Athenienses quidem hoc loco verbis Herodotus effert, servatoresque Græciæ appellat: recte hoc, et merito: nisi eorum laudibus multa maledicta admiscuisset. Nunc quum dicit, *nisi Athenienses fortes se præstitissent, hunc belli eventum futurum fuisse, ut Lacedæmonii a reliquis Græcis deserti magnis editis facinoribus pugnando generose occumberent, vel, videntes reliquos se Græcos Persis dedisse, pacificationem cum Xerxe potius inirent:* hoc ergo quum dicit, ostendit se non hæc laudandorum Atheniensium gratia dicere, sed Athenienses ideo laudare, ut reliquis omnibus Græcis male-

ἄλλως ἅπαντας. Τί γὰρ ἄν τις ἐπιδυσχεραίνῃ, Θηβαίους ἀεὶ καὶ Φωκέας πικρῶς αὐτοῦ καὶ κατακόρως ἐξονειδίζοντος, ὅπου καὶ τῶν προκινδυνευσάντων ὑπὲρ τῆς Ἑλλάδος, τὴν οὐ γενομένην δ' ἄν, ὡς αὐτὸς εἰκάζοι, καταψηφίζεται προδοσίαν· αὐτοὺς δὲ Λακεδαιμονίους ἐν ἀδήλῳ θέμενος ἐπηπόρησεν εἴτε ἔπεσον ἂν μαχόμενοι τοῖς πολεμίοις, εἴτε παρέδωκαν ἑαυτοὺς, μικροῖς γε νὴ Δία τεκμηρίοις αὐτῶν ἀπιστήσας τοῖς περὶ Θερμοπύλας.

C λʹ. Διηγούμενος δὲ συμπεσοῦσαν ναυαγίαν ταῖς βασιλικαῖς ναυσὶ, καὶ ὅτι, "πολλῶν χρημάτων ἐκπεσόντων Ἀμεινοκλῆς ὁ Κρησίνεω Μάγνης ἀνὴρ ὠφελήθη μεγάλως, χρύσεα ἄφατα καὶ χρήματα περιβαλόμενος" οὐδὲ τοῦτο ἄδηκτον παρῆκεν, "ἀλλ' ὁ μὲν τἄλλα," φησὶν, "οὐκ εὐτυχέων, εὑρήμασι μέγα πλούσιος ἐγένετο·"

B. 2. ἐπιδυσχεραίνῃ] Malim ἔτι δυσχεραίνῃ, ut Reisk.
B. 5. τὴν οὐ γενομένην δ' ἂν] Legendum, τὴν οὐ γεγενημένην μὲν, γενομένην δ' ἂν, monitum item a Mez. et Reisk.
B. 9. ἀπιστήσας] Sic E. item Reisk. Vulgo, ἀποστήσας.
C. 5. οὐδὲ τοῦτο] οὐδὲ τούτων Mez. Reisk.

diceret. Quid vero attinet indignari, ubi acerbe, idque ad nauſeam uſque, Thebanos et Phocenſes ſubinde exagitat? quando etiam iis qui pro Græcia periculum pugnæ vitæque ſuſceperunt exprobrat proditionem, non factam illam, ſed eam quam, ut ipſe ſuſpicatur, forte facturi fuiſſent: et de Lacedæmoniis pro incerto ponit, maluiſſentne cadere in pugna adverſus hoſtes, an vero hoſti ſe dedere: exiguis mehercle indiciis, eorum ad Thermopylas geſtis, non credens.

XXX. Secundum hæc cum naufragium narraret, quod accidit claſſi regiæ, utque *Aminocles Cratinæ filius Magnes magnum ex ea calamitate emolumentum perceperit, auri et pecuniæ immenſam vim nactus:* ne hoc quidem a morſu ſuo immune prætermiſit. *Verum,* inquit, *iſte quidem alias parum fortunatus, repertis opibus majorem in modum locupletatus eſt: nam quod proli necem in-*

"ἦν γάρ τις καὶ τούτῳ ἄχαρις συμφορὴ λυπεῦσα παι-"δοκτόνος." Τοῦτο μὲν οὖν παντὶ δῆλον, ὅτι τὰ χρυσᾶ χρήματα, καὶ τὰ εὑρήματα, καὶ τὸν ἐκβεβρασμένον ὑπὸ τῆς θαλάσσης πλοῦτον, ἐπεισήγαγε τῇ ἱστορίᾳ, χώραν καὶ τόπον ποιῶν ἐν ᾧ θήσεται τὴν Ἀμεινοκλέους παιδοφονίαν.

λα΄. Ἀριστοφάνους δὲ τοῦ Βοιωτοῦ γράψαντος ὅτι χρή- D
ματα μὲν αἰτήσας οὐκ ἔλαβε παρ᾽ Ἀθηναίων, ἐπιχειρῶν δὲ τοῖς νέοις διαλέγεσθαι καὶ συσχολάζειν, ὑπὸ τῶν ἀρχόντων ἐκωλύθη δι᾽ ἀγροικίαν αὐτῶν καὶ μισολογίαν, ἄλλο μὲν οὐδέν ἐστι τεκμήριον· ὁ δὲ Ἡρόδοτος τῷ Ἀριστοφάνει μεμαρτύρηκε, δι᾽ ὧν τὰ μὲν ψευδῶς, τὰ δὲ διὰ * τὰ δὲ ὡς μισῶν καὶ διαφερόμενος τοῖς Θηβαίοις ἐγκέκληκε. Θεσσαλοὺς μὲν γὰρ ὑπὸ ἀνάγκης ἀποφαίνεται μηδίσαι τὸ πρῶτον, ἀληθῆ λέγων· καὶ περὶ τῶν ἄλλων

D. 2. παρ᾽ Ἀθηναίων] Legendum, παρὰ Θηβαίων, Mez. et Reisk. Amiot. viderunt. Sæpe in his nominibus permutatio turbavit.

D. 6. διὰ *] Forte, δι᾽ ἀδικίαν. Alii aliter. T. V. διὰ κολακείαν, vel δι᾽ ἔχθραν. Mez. δι᾽ ἄγνοιαν. Reisk. ψευδῶς νὴ Δία.

tulisset, id eum malum haud leviter animi angebat. Quis non videat, eum aureas istas inventas opes, ejectasque ad litus a mari divitias propterea in historiam introduxisse, ut locum faceret in quo Aminoclis cædem prolis collocaret?

XXXI. Cum autem Aristophanes Bœotus scripserit, Herodotum pecunias petentem a Thebanis nihil impetrasse: aggresso autem cum pueris differere et scholam instituere, a magistratibus fuisse interdictum ob rusticitatem eorum et odium literarum: aliud quidem certum rei nullum exstat argumentum. Sed Aristophani Herodotus testimonium tulit, dum alia falso, alia per injustitiam, alia tanquam exosus Thebanos et adversum eos jurgans vituperat. *Thessalos*, ait, *ab initio necessitate compulsos ad Medos inclinasse*, vere hoc, ut et cum ariolatus de

E Ἑλλήνων μαντευόμενος ὡς προδόντων ἂν Λακεδαιμονίους,
ὑπεῖπεν ὡς οὐχ ἑκόντων, ἀλλ᾽ ὑπ᾽ ἀνάγκης ἁλισκομένων
κατὰ πόλεις. Θηβαίοις δὲ τῆς αὐτῆς ἀνάγκης οὐ δίδωσι τὴν
αὐτὴν συγγνώμην, καίτοι πεντακοσίους μὲν εἰς τὰ Τέμπη
καὶ Μναμίαν στρατηγὸν ἔπεμψαν, εἰς δὲ Θερμοπύλας ὅσους
ᾔτησε Λεωνίδας· οἳ καὶ μόνοι σὺν Θεσπιεῦσι παρέμειναν
αὐτῷ, τῶν ἄλλων ἀπολιπόντων μετὰ τὴν κύκλωσιν· ἐπεὶ
δὲ τῶν παρόδων κρατήσας ὁ βάρβαρος ἐν τοῖς ὅροις ἦν,
καὶ Δημάρατος ὁ Σπαρτιάτης διὰ ξενίας εὔνους ὢν Ἀ-
F παγίνῳ τῷ προεστῶτι τῆς ὀλιγαρχίας, διεπράξατο φί-
λον βασιλέως γενέσθαι καὶ ξένον, οἱ δὲ Ἕλληνες ἐν ταῖς
ναυσὶν ἦσαν, πεζῇ δὲ οὐδεὶς προσήλαυνεν, οὕτω προσ-
εδέξαντο τὰς διαλύσεις, ὑπὸ τῆς μεγάλης ἀνάγκης
ἐγκαταλειφθέντες· οὔτε γὰρ θάλασσα καὶ νῆες αὐτοῖς
παρῆσαν ὡς Ἀθηναίοις, οὔτε ἀπωτάτω κατῴκουν ὡς
Σπαρτιάται τῆς Ἑλλάδος ἐν μυχῷ, μιᾶς δὲ ἡμέρας

E. 9. Ἀπαγίνῳ] Scribendum Ἀτταγίνῳ ut ap. Herodot. IX, 6, 86.
F. 5. ἐγκαταλειφθέντες] Rectius videtur ἐγκαταληφθέντες.

aliis Græcis, futurum fuisse ut proderentur ab iis Spartani, subjecit, *Non volentibus quidem, sed necessitate coactis, una post alteram capta urbe.* Thebanis tamen ejusdem necessarii facti veniam non itidem facit. At enim Thebani quingentos viros duce Mnamia in Tempe miserunt, et ad Thermopylas tot quot poposcit Leonidas: qui et soli cum Thespiensibus perseveraverunt apud hunc, reliquis a circumventione deserentibus: postquam vero barbarus aditibus occupatis in montes pervenit, et Demaratus Spartanus ob hospitium favens Apagino, tum paucorum in republica dominationis præsidi, effecit ut is amicus et hospes regis fieret: Græci autem in navibus erant, neque terra quisquam accedebat: ita demum conditiones pacis acceperunt deserti, magna eos urgente necessitate. Nam neque mare et naves iis ad manum erant ut Atheniensibus: neque procul dissiti erant, ut Spartani penetralia Græciæ incolentes: cumque sesquidiei

ὁδῷ καὶ ἡμισείας ἀπέχοντι τοῦ Μήδου συστάντες ἐπὶ τῶν στενῶν, καὶ διαγωνισάμενοι μετὰ μόνων Σπαρτιατῶν καὶ Θεσπιέων ἠτύχησαν. Ὁ δὲ συγγραφεὺς οὕτως ἐστὶ δίκαιος ὥστε Λακεδαιμονίους μὲν μονωθέντας, καὶ γενομένους συμμάχων ἐρήμους, τυχὸν ἄν φησιν ὁμολογίῃ χρῆσθαι πρὸς Ξέρξεα· Θηβαίοις δὲ τὸ αὐτὸ διὰ τὴν αὐτὴν ἀνάγκην παθοῦσι λοιδορεῖται. Τὸ δὲ μέγιστον καὶ κάλλιστον ἔργον ἀνελεῖν μὴ δυνηθεὶς ὡς οὐ πραχθὲν αὐτοῖς, αἰτίῃ φαύλη καὶ ὑπονοίᾳ διαλυμαινόμενος, ταῦτ' ἔγραφεν, "Οἱ
" μὲν ὦν ξύμμαχοι ἀποπεμπόμενοι ᾤχοντό τε ἀπιόν-
" τες, καὶ ἐπείθοντο Λεωνίδῃ· Θεσπιεῖς δὲ καὶ Θηβαῖοι
" κατέμειναν μοῦνοι παρὰ Λακεδαιμονίοισι· τούτων δὲ
" Θηβαῖοι μὲν ἀέκοντες ἔμενον καὶ οὐ βουλόμενοι, κατ-
" εῖχε γὰρ σφέας Λεωνίδης ἐν ὁμήρων λόγῳ ποιεύ- B
" μενος· Θεσπιέες δὲ ἑκόντες μάλιστα, οἳ οὐδαμᾶ ἔφα-
" σαν ἀπολιπόντες Λεωνίδην καὶ τοὺς μετὰ τούτου ἀπαλ-
" λάξεσθαι." Εἶτα οὐ δῆλός ἐστιν ἰδίαν τινὰ πρὸς Θη-

A. 3. πρὸς Ξέρξεα—λοιδορεῖται] Addita ſunt ex B. E.
A. 6. αἰτίῃ] Dubium utrum αἰτίᾳ ſcripſerit Plutarchus, an illud prudens imprudenſve ex hac Ionicæ dictionis conſuetudine tenuerit.

ſpatio itinere ab ipſis abſenti Medo cum ſolis Lacedæmoniis et Theſpienſibus ſe in faucibus anguſtiarum oppoſuiſſent, ſuccubuerant. Verum hic ſcriptor ea eſt æquitate, ut cum dixiſſet Lacedæmonios ab omnibus deſtitutos ſociis fortaſſe pactum inituros fuiſſe cum hoſte: Thebanorum maximum et pulcherrimum facinus obliterare prorſus quia non poterat, tamen veluti vitioſa cauſſa et ſuſpectione corrumpens, ita ſcripſerit, *Socii igitur qui miſſi erant, Leonidæ conſilium ſequentes abierunt. Soli apud Lacedæmonios remanſerunt Theſpienſes ac Thebani: hi quidem inviti et nolentes: ſed eos obſidum loco Leonidas retinebat. Theſpienſes admodum volentes, et qui nuſquam ſe a Leonida diſceſſuros dicerent, et iis quos ſecum habebat.* An vero non prodit

βαίους ἔχων ὀργὴν καὶ δυσμένειαν, ὑφ' ἧς οὐ μόνον διέβαλε ψευδῶς καὶ ἀδίκως τὴν πόλιν, ἀλλ' οὐδὲ τοῦ πιθανοῦ τῆς διαβολῆς ἐφρόντισεν, οὐδὲ ὅπως αὐτὸς ἑαυτῷ τὰ ἐναντία λέγων παρ' ὀλίγους ἀνθρώπους οὐ φανεῖται συνειδώς; προειπὼν γάρ, « ὡς ὁ Λεωνίδης, ἐπεί τ' ᾐσ-
« θετο τοὺς συμμάχους ἐόντας ἀπροθύμους, καὶ οὐκ ἐθέ-
C « λοντας συγκινδυνεύειν, κελεύσας σφέας ἀπαλλάττεσ-
« θαι» πάλιν μετ' ὀλίγον λέγει « τοὺς Θηβαίους ἄκοντας
« αὐτὸν κατασχεῖν,» οὓς εἰκὸς ἦν ἀπελάσαι καὶ βουλομένους παραμένειν, εἰ μηδίζειν αἰτίαν εἶχον. Ὅπου γὰρ οὐκ ἐδεῖτο τῶν μὴ προθύμων, τί χρήσιμον ἦν ἀναμεμῖχθαι μαχομένοις ἀνθρώπους ὑπόπτους; Οὐ γὰρ δὴ φρένας εἶχεν τοιαύτας ὁ τῶν Σπαρτιατῶν βασιλεὺς καὶ τῆς Ἑλλάδος ἡγεμών, ὥστε κατέχειν ἐν ὁμήρων λόγῳ τοῖς τριακοσίοις τοὺς τετρακοσίους ὅπλα ἔχοντας, καὶ προσκει-

B. 8. παρ' ὀλίγους ἀνθρώπους] Forte, πᾶσι ὀλίγου ἀνθρώποις. Nec tamen repudiandum Reiskii παρ' εὐλόγους ἀνθρώπους.
C. 1. κελεύσας] Forte κελεῦσαι, ut Herodot. VII, 220. et Reiskio visum.
C. 3. ἀπελάσαι καὶ βουλομένους] Prius sumsi ex B. E. tum μὴ delevi cum Bas. Xyl. Amiot. Reisk. Vulgo, ἀπελᾶσθαι καὶ μὴ βουλομένους.

liquido se peculiari aliquo Thebanorum odio affectum? quo impulsus non modo urbem falso et injuria vituperavit, sed etiam probabilitatem calumniæ aliquam parare, et curare ne omnibus hominibus videretur secum pugnantia dicere, sibique mendacii esse conscius, posthabuit. Nam cum dixisset Leonidam, quod sentiret non esse bene animatos neque paratos ad subeundum periculum socios, jussisse discedere: paulo post subjicit, *Thebanos invitos ab eo fuisse detentos:* quos, si ad Medos inclinare animis credebat, etiam manere volentes debuit abigere: ubi enim nulli usui sibi fore censuit non alacres, quid attinebat pugnantibus permisceri suspectos? Neque vero rex Spartanorum idemque Græciæ dux ita stultus fuit, ut trecentis suis quadringentos Thebanos armis instructos obsidum loco sibi pu-

μένων ἔμπροσθεν ἤδη καὶ ὄπισθεν ἅμα τῶν πολεμίων· καὶ γὰρ εἰ πρότερον ἐν ὁμήρων λόγῳ ποιούμενος ἦγεν αὐτούς, ἔν γε τοῖς ἐσχάτοις εἰκὸς ἦν χαίρειν ἐκείνους τε Λεωνίδα μηδὲν φροντίσαντας ἀπαλλαγῆναι, καὶ Λεωνίδαν δεῖσαι τὴν D ὑπ' ἐκείνων μᾶλλον ἢ τῶν βαρβάρων κύκλωσιν. Ἄνευ δὲ τούτων, πῶς οὐ γελοῖος ὁ Λεωνίδας, τοὺς μὲν ἄλλους Ἕλληνας ἀπεῖναι κελεύων ὡς αὐτίκα μάλα τεθνηξομένους, Θηβαίους δὲ κωλύων, ὡς ὑπ' αὐτοῦ φυλάττοιντο τοῖς Ἕλλησιν ἀποθνήσκειν μέλλοντος· εἰ γὰρ ὡς ἀληθῶς ἐν ὁμήρων λόγῳ, μᾶλλον δὲ ἀνδραπόδων, περιῆγε τοὺς ἄνδρας, οὐ κατέχειν ὤφειλεν αὐτοὺς μετὰ τῶν ἀπολλυμένων, ἀλλὰ παραδοῦναι τοῖς ἀπιοῦσι τῶν Ἑλλήνων. Ὃ δὲ λοιπὸν ἦν τῶν αἰτίων εἰπεῖν, ἴσως δὲ ἀπολουμένων κατεῖχε, καὶ τοῦτο ἀνῄρηκεν ὁ συγγραφεύς, οἷς περὶ τῆς φι- E

D. 4. τεθνηξομένους] τεθνηξόμενος T. V. Amiot. Schott. Leonic. Anon. item Xyl. vertens, et Mez.
D. 7. ὁμήρων λόγῳ] Sic B. E. Vulgo, ὁμήρου λόγῳ.
D. 8. ἀπολλυμένων] Probo Reiskii ἀπολουμένων.
D. 10. ἴσως δὲ ἀπολουμένων] Annotatiuncula hæc videtur in margine a correctore ad illud superius ἀπολλυμένων posita. Hic, cum Mez. legam, ὅτι ὡς ἀπολουμένους.

taret detinendos, hostibus maxime a fronte jam et tergo imminentibus. Nam ut prius eos obsidum loco habens secum duxerit, certe ad extremum probabile erat eos contemto Leonida fuisse discessuros, et Leonidam magis veriturum ne ab his quam ne a barbaris circumveniretur. Præter hæc qui non sit ridiculus Leonidas, si reliquos Græcos abire jubens ut mortem sibi impendere præsentem intelligens, Thebanos detinuit, scilicet Græcis eos servaturus, jamjam moriens ipse? nam si vere pro obsidibus hos, aut potius mancipiis circumduxit, non debuit inter perituros detinere, sed discedentibus Græcis eos tradere. Quæ una restabat caussa, cur Thebanos Leonidas noluisse dimittere diceretur, nempe ut una secum eos perderet: hanc quoque Herodotus ipse sustulit, de ambitione Leonidæ sic scri-

λοιπίας τοῦ Λεωνίδου κατὰ λέξιν. * "ταῦτα δὲ δὴ "ἐπιλεγόμενον Λεωνίδαν, καὶ βουλόμενον καταθέσθαι "κλέος μούνων Σπαρτιητέων, ἀποπέμψαι τοὺς συμ-"μάχους μᾶλλον ἢ τῇσι γνώμῃσι διενεχθέντας." Ὑπερβολὴ γὰρ εὐηθείας ἦν, ἧς ἀπήλαυε δόξης τοὺς συμμάχους, κατέχειν μεθέξοντας τοὺς πολεμίους. Ὅτι
F τοίνυν οὐ διεβέβλητο τοῖς Θηβαίοις ὁ Λεωνίδας, ἀλλὰ καὶ φίλους ἐνόμιζε βεβαίους, ἐκ τῶν πεπραγμένων δῆλον ἐστί. Καὶ γὰρ παρῆλθεν εἰς Θήβας ἄγων τὸ στράτευμα, καὶ δεηθεὶς ἔτυχεν οὗ μηδὲ εἷς ἄλλος, ἐν τῷ ἱερῷ κατακοιμηθῆναι τοῦ Ἡρακλέους, καὶ τὴν ὄψιν ἣν εἶδεν ὄναρ ἐξήγγειλε τοῖς Θηβαίοις· ἔδοξε γὰρ ἐν θαλάσσῃ πολλῇ ἐχούσῃ καὶ τραχὺν κλύδωνα, τὰς ἐπιφανεστάτας καὶ μεγίστας πόλεις τῆς Ἑλλάδος ἀνωμάλως διαφέρεσθαι καὶ σαλεύειν, τὴν δὲ Θηβαίων ὑπερέχειν τε πασῶν, καὶ μετέωρον ἀρθῆναι πρὸς τὸν

E. 2. λέξιν * ταῦτα] Nil nisi γράφει, aut simile, excidisse videtur.
E. 4. Σπαρτιητέων] Sic B. E. Vulgo, Σπαρτιατῶν.
E. 6. ἀπήλαυνε] Sic E. Bas. Xyl. Vulgo, ἀπήλαυε.
F. 6. ὄναρ] Sic B. E. Vulgo, Ἥραν.

bens: *Hæc reputans Leonidas, volensque gloriam hanc solis Spartanis parare, socios dimisit: magis ob hoc, quam quod eorum diversæ essent sententiæ.* Extremæ vero stultitiæ fuit, a qua gloria socios arceret, in ejus societatem pertrahere invitos hostes. Ceterum non fuisse suspectos malæ fidei Thebanos Leonidæ, sed pro amicis habitos constantibus, res gestæ demonstrant. Nam et Thebas venit exercitum ducens, et orans id impetravit, quod nemo alius, ut in fano Herculis dormiret: et visum divinitus oblatum Thebanis exposuit. Imaginatus fuit enim in mari se videre multis et asperis exagitato undis illustrissimas et maximas Græciæ urbes inæqualiter differri atque fluctuare: Thebas supra omnes alias ferri, et sublimes ad cœlum extolli, ac post

κατέστη. Ταῦτα τίς οὐκ ἂν ἐπιτιμήσειεν ἄλλως παραλιπόντος; ὁ δὲ τὴν Ἀμάσιδος ἀποψόφησιν, καὶ τὴν τῶν ὄνων τοῦ κλέπτου προσέλασιν, καὶ τὴν τῶν ἀσκῶν ἐπίδοσιν, καὶ πολλὰ τοιαῦτα συναγαγὼν, καὶ διαμνημονεύων, οὐκ ἀμελείᾳ δόξειεν ἂν καὶ ὑπεροψίᾳ προέσθαι καλὰ μὲν ἔργα, καλὰς δὲ φωνὰς, ἀλλὰ οὐκ εὐμενὴς D ὢν πρὸς ἐνίους, οὐδὲ δίκαιος.

λγ'. Τοὺς δὲ Θηβαίους πρῶτον μὲν, φησὶ, μετὰ τῶν Ἑλλήνων ἐόντας, μάχεσθαι ὑπὸ ἀνάγκης ἐχομένους. Οὐ γὰρ μόνον Ξέρξης, ὡς ἔοικεν, ἀλλὰ καὶ Λεωνίδας μαστιγοφόρους εἶχεν ἑπομένους, ὑφ' ὧν οἱ Θηβαῖοι παρὰ γνώμην ἠναγκάζοντο μαστιγούμενοι μάχεσθαι· καὶ μάχεσθαι μὲν ὑπὸ ἀνάγκης φησὶ τοὺς ἀπελθεῖν καὶ φεύγειν δυναμένους, μηδίσαι δὲ ἑκόντας, οἷς οὐδεὶς παρῆν βοηθῶν. Ἑξῆς δὲ τούτοις γέ-

C. 8. τίς οὐκ ἂν] Sic Steph. post Amiot. Turneb. Leonic. Schott. Anon. At B. E. Ald. Bas. Xyl. οὐκ ἄν τις: quod in versione reliqui.

D. 2. δίκαιος] Sic omnes libri, excepto Steph. qui habet δικαίως: forte errore operarum.

D. 3. πρῶτον] Recepi a Bas. et Xyl. ut verum, quippe refertur ad sequens Ἑξῆς. Non procul abeunt Ald. B. E. πρῶτος. Deterius est vulgatum πρώτους, a Stephano sumtum ex Leonic. Schott. Anon.

omisisset, fortasse reprehensione posset carere. At, qui Amasidis crepitum, advectionem asinorum furis, utrium largitionem, multaque talia conduxisset et commemorasset, certe videri potest ille non incuria aut contemtu præteriisse pulchre facta atque dicta: sed quod quibusdam male vellet, essetque in eos injurius.

XXXIII. Thebanos autem ait primum cum Græcis conjunctos necessitate compulsos pugnavisse: credo, quia non Xerxes modo, sed etiam Leonidas haberet flagelliferos in suo comitatu, a quibus Thebani contra animi sententiam cogebantur pugnare: ac pugnasse quidem invitos ait, qui discedere poterant et fugere: ultro autem ad Medos inclinasse, quibus nullus aderat auxiliarius. Post hæc scri-

γέγραφεν, ὅτι « τῶν ἄλλων ἐπειγομένων ἐπὶ τὸν Κολωνόν, « ἀποσχισθέντες οἱ Θηβαῖοι χεῖράς τε προέτειναν, καὶ
E « ἦσαν ἆσσον τῶν βαρβάρων, λέγοντες τὸν ἀληθέστατον « τῶν λόγων, ὡς μηδίσαιεν, καὶ γῆν τε καὶ ὕδωρ ἔδοσαν « βασιλεῖ, ὑπὸ δὲ ἀνάγκης ἐχόμενοι εἰς Θερμοπύλας « ἀπικέατο, καὶ ἀναίτιοι εἶεν τοῦ τρώματος τοῦ γενομένου « βασιλεῖ· ταῦτα λέγοντες περιεγίνοντο, εἶχον γὰρ καὶ « Θεσσαλοὺς μάρτυρας τούτων τῶν λόγων.» Ὅρα διὰ τοσούτων ἐν βαρβάροις κραυγαῖς καὶ παμμιγέσι θορύβοις καὶ φυγαῖς καὶ διώξεσιν ἀκουομένην δικαιολογίαν, καὶ μαρτύρων ἀνάκρισιν, καὶ Θεσσαλοὺς μεταξὺ τῶν φονευομένων καὶ πατουμένων ὑπὸ ἀλλήλων, παρὰ τὰ στενά, Θηβαίοις
F συνδικοῦντας, ὅτι τῆς Ἑλλάδος αὐτοὺς κρατοῦντας ἄχρι Θεσπιέων ἔναγχος ἐξήλασαν μάχῃ περιγενόμενοι, καὶ τὸν ἄρχοντα Λατταμίαν ἀποκτείνοντες. Ταῦτα γὰρ ὑπῆρχε Βοιωτοῖς τότε καὶ Θετταλοῖς πρὸς ἀλλήλους, ἐπιεικὲς

E. 1. ἦσαν] ἤισαν T. V. Xyl. ut Herod. VII, 233.
E. 10. παρὰ τὰ στενά] Sic B. E. Vulgo, πάντα γὰρ στενά.
F. 2. περιγενόμενοι] Sic Amiot. et Xyl. vertendo: Mez. et Reisk. corrigendo.
F. 3. Λατταμίαν] E. Λατταμύαν.

bit, *Reliquis ad Colonum contendentibus, Thebanos ab iis se avellisse, manusque intendisse ad barbaros, acclamasse accedentes voce verissima, se Medorum rebus studuisse, regique aquam et terram præbuisse, nunc necessitate adactos ad Thermopylas venisse, et extra culpam esse de vulnere regi inflicto. Hæc eos fatos salutem impetrasse, cum Thessali etiam testimonium ipsis perhiberent.* En tibi tot verbis inter barbaricas conclamationes, omnigenos tumultus, fugas, insecutiones, exauditam caussæ dictionem, et testium examen, et Thessalos inter cædes et conculcationes in tantis angustiis, Thebanis patrocinantes: nimirum quod hos Græcia usque ad Thespias potitos Thebani nuper pugna superatos ejecerunt, occiso eorum duce Lattamya: ita enim tum inter Thessalos et Thebanos res erat, amicitia nulla aut be-

δὲ καὶ φιλάνθρωπον ἐστίν. Ἀλλὰ δὴ τῶν Θεσσαλῶν μαρτυρούντων πῶς περιεγένοντο Θηβαῖοι; « τοὺς μὲν « αὐτῶν ἀπέκτειναν οἱ βάρβαροι προσιόντας, » ὡς αὐτὸς εἴρηκε· « τοὺς δ' ἔτι πλεῦνας, κελεύσαντος Ξέρξεω, « ἔστιξαν στίγματα βασιλήϊα, ἀρξάμενοι ἀπὸ στρατηγοῦ « Λεοντιάδεω. » Οὔτε Λεοντιάδης ἐν Θερμοπύλαις ἦν στρατηγὸς, ἀλλὰ Ἀναξάνδρος, ὡς Ἀριστοφάνης ἐκ τῶν κατὰ ἄρχοντας ὑπομνημάτων ἱστόρησε, καὶ Νίκανδρος ὁ Κολοφώνιος· οὔτε γινώσκει τις ἀνθρώπων πρὸ Ἡροδότου στιχθέντας ὑπὸ Ξέρξου Θηβαίους. Ἐπεὶ μέγιστον ἦν ἀπολόγημα τῆς διαβολῆς, καὶ καλῶς εἶχε τὴν πόλιν ἀγάλλεσθαι τοῖς στίγμασιν ἐκείνοις, ὡς Ξέρξου δικάσαντος ἐχθίστοις χρήσασθαι Λεωνίδῃ καὶ Λεοντιάδῃ, τοῦ μὲν γὰρ ᾐκίσατο πεπτωκότος τὸ σῶμα, τοῦ δὲ ζῶντος ἔστιξε. Ὁ δὲ τὴν μὲν εἰς Λεωνίδαν ὠμότητα δήλωμα ποιού-

P. 8. πλεῦνας] Sic B. E. Xyl. Herod. l. c. Vulgo, πρεῦνας.

A. 7. δικάσαντος] Forte, δικαιώσαντος, ut Reiſk.

A. 8. Λεωνίδῃ καὶ Λεοντιάδῃ] Sic B. E. ut res ipſa poſtulat. Steph. ex Ald. vulgavit Λεωνίδῃ καὶ Λεοντίδῃ. Baſ. et Xyl. deterius fecerunt, omiſſo καὶ Λεοντιάδῃ: hic male vertit, bene Amiot.

nevolentia. Sed tamen Theſſalis teſtimonio juvantibus quomodo Thebani evaſerunt? *Alii eorum*, inquit, *accedentes a barbaris ſunt obtruncati: plures etiam mandato Xerxis notis regiis compuncti ſunt*, *initio facto a duce eorum Leontiada*. Atqui non fuit Leontiades dux Thebanorum in Thermopylis, ſed Anaxander: ut Ariſtophanes e magiſtratuum commentariis docuit, et Nicander Colophonius. Neque agnoſcit quiſquam hominum ante Herodotum compunctos a Xerxe Thebanos. Alioqui maxima hæc adverſus calumniam erat futura defenſio, debebantque gloriari ob iſtas notas Thebæ, quod Xerxes ſtatuiſſet ut inimiciſſimos ſibi tractare Leonidam et Leontiadem: ſiquidem hujus mortui corpus Xerxes contumelioſe habuit, illius vivum compunxit. Sed enim qui e crudelitate in Leonidam de-

μένος ὅτι μάλιστα δὴ ἀνδρῶν ὁ βάρβαρος ἐθυμώθη
B ζῶντι Λεωνίδῃ, Θηβαίους δὲ καὶ μηδίζοντας λέγων ἐν Θερμοπύλαις στιχθῆναι, καὶ στιχθέντας αὖθις ἐν Πλαταιαῖς μηδίζειν προθύμως, δοκεῖ μοι, καθάπερ Ἱπποκλείδης ὁ τοῖς σκέλεσι χειρονομῶν ἐπὶ τῆς τραπέζης, εἰπεῖν ἄν, ἐξορχούμενος τὴν ἀλήθειαν, Οὐ φροντὶς Ἡροδότῳ.

λδʹ. Ἐν δὲ τῇ ὀγδόῃ, „τοὺς Ἕλληνας," φησί, „καταδειλιάσαντας ἀπὸ τοῦ Ἀρτεμισίου δρησμὸν βουλεύεσθαι ἔσω εἰς τὴν Ἑλλάδα· καὶ τῶν Εὐβοέων δεομένων ὀλίγον ἐπιμεῖναι χρόνον, ὅπως ὑπεκθοῖντο γενεὰς καὶ τὸ οἰκετικόν, ὀλιγωρεῖν, ἄχρις οὗ Θεμιστοκλῆς
C „ἀργύριον λαβὼν Εὐρυβιάδῃ τε μετέδωκε καὶ Ἀδειμάντῳ „τῷ Κορινθίων στρατηγῷ· τότε δὲ μεῖναι καὶ διαναυ-

B. 5. Ἡροδότῳ] Recepi ex B. E. ut accommodatius huic loco, quam vulgatum Ἱπποκλείδῃ, quod ex universa et vulgari est proverbii forma.

B. 9. ἔσω] Addidi ex B. E. Sic et Herod. VIII, 4. et Mez.

B. 10. γενεὰς] Vetus et exquisiti usus lectio, revocata est ex B. E. Ald. Bas. Xyl. non intellecta Leonico, Schott. Anon. ab iisdem mutata in γυναῖκας, quod Steph. vulgavit. Herodoto, ni fallor, restituenda pro τέκνα, VIII, 4.

monstrat maxime omnium hominum Leonidæ viventi iratum fuisse Xerxem: Thebanos autem dicens Medorum rebus studentes et apud Thermopylas fuisse notis compunctos, et tamen postea apud Platæas Medis alacriter favisse: is videtur mihi, in morem Hippoclidis istius, pedibus in mensa gesticulantis, veritate ob ineptam saltationem amissa dicturus, *Non curat hoc Herodotus.*

XXXIV. Libro octavo ait *Græcos metu captos fugam ab Artemisio in Græciam meditatos, Euboensium orantium ut exiguum temporis spatium manerent, dum familiam exponerent, nullam habuisse rationem: donec Themistocles accepta ab Euboensibus pecunia Eurybiadem et Adimantum Corinthiorum ducem impertiit: hac ratione factum ut manerent, et*

“ μαχῆσαι πρὸς τοὺς βαρβάρους.” Ὁ μὲν Πίνδαρος, οὐκ ὢν συμμάχου πόλεως, ἀλλὰ μηδίζειν αἰτίαν ἐχούσης, ὅμως τοῦ Ἀρτεμισίου μνησθεὶς ἐπιπεφώνηκε,

——— ὅθι παῖδες Ἀθηναίων ἐβάλοντο
Φαεννὰν κρηπῖδ' ἐλευθερίας.

Ἡρόδοτος δὲ, ὑφ' οὗ κεκοσμῆσθαί τινες ἀξιοῦσι τὴν Ἑλλάδα, δωροδοκίας καὶ κλοπῆς ἔργον ἀποφαίνει τὴν νίκην ἐκείνην γενομένην, καὶ τοὺς Ἕλληνας ἀκουσίως ἀγωνισαμένους, ὑπὸ τῶν στρατηγῶν ἐξαπατηθέντας ἀργύριον λαβόντων. Καὶ τοῦτο πέρας οὐ γέγονεν αὐτῷ τῆς κακοηθείας, ἀλλὰ πάντες μὲν ἄνθρωποι σχεδὸν ὁμολογοῦσι ταῖς D
ναυμαχίαις αὐτόθι κρατοῦντας τοὺς Ἕλληνας, ὅμως ὑφέσθαι τοῦ Ἀρτεμισίου τοῖς βαρβάροις, τὰ περὶ Θερμοπύλας ἀκούσαντας· οὐδὲ γὰρ ἦν ὄφελος ἐνταῦθα καθημένους φρουρεῖν τὴν θάλασσαν, ἐντὸς Πυλῶν τοῦ πολέμου γεγονότος, καὶ Ξέρξου τῶν παρόδων κρατοῦντος. Ἡρόδοτος δὲ, πρὶν ἀπαγγελῆναι τὸν Λεωνίδου θάνατον, ἤδη ποιεῖ

C. 6. ὅθι] Sic B. Mez. Vulgo, ὅτι.

cum barbaris navali pugna decertarent. Pindarus quidem, non sociæ urbis sed Medis favere suspectæ civis, tamen Artemisii facta mentione exclamat:

—— *Ubi filii Atheniensium*
Splendidum jecere libertatis fundamentum.

Herodotus autem, a quo nonnulli exornatam volunt Græciam, victoriam illam captorum munerum et furti opus facit, deceptos a ducibus argento corruptis Græcos contra animi sententiam pugnasse dicens. Neque hic malignitati finem statuit. Fatentur omnes homines fere, Græcos etsi navalibus præliis victoriam obtinerent, tamen Artemisio barbaris cessisse, audita clade ad Thermopylas accepta: neque enim expediebat ibi morari et mare custodire, cum hostis jam intra Pylas pervenisset, Xerxe aditus tenente. Herodotus tamen Græcos fa-

τοὺς Ἕλληνας βουλευομένους ἀποδιδράσκειν· λέγει δὲ οὕτως,
« Τρηχέως δὲ περιενεχθέντες, καὶ οὐχ ἥκιστα Ἀθηναῖοι,
« τῶν αἱ ἡμίσεαι τῶν νεῶν τετρωμέναι ἦσαν, δρησμὸν
E « ἐβούλευον εἰς τὴν Ἑλλάδα.» Καίτοι τὴν πρὸ τοῦ
ἀγῶνος ἀναχώρησιν οὕτως ὀνομάσαι, μᾶλλον δὲ ὀνειδίσαι,
δεδόσθω· ὁ δὲ καὶ πρότερον δρασμὸν εἶπεν, καὶ νῦν
δρασμὸν ὀνομάζει, καὶ μετ' ὀλίγον πάλιν ἐρεῖ δρασμόν·
οὕτω πικρῶς τῷ ῥήματι προσπέφυκε· « τοῖς δὲ βαρ-
« βάροισιν αὐτίκα μετὰ ταῦτα πλοίῳ ἦλθεν ἀνὴρ Ἑστι-
« αιεὺς ἀγγέλλων τὸν δρησμὸν τοῦ Ἀρτεμισίου τὸν τῶν
« Ἑλλήνων· οἱ δὲ ὑπὸ ἀπιστίης τὸν μὲν ἀγγέλλοντα
« εἶχον ἐν φυλακῇ, νέας δὲ ταχείας ἀπέστειλαν προκατ-
« οψομένας.» Τί σὺ λέγεις; ἀποδιδράσκειν ὡς κεκ-
ρατημένους οὓς οἱ πολέμιοι μετὰ τὴν μάχην ἀπιστοῦσι
F φεύγειν, ὡς πολὺ κρατοῦντας; Εἶτα πιστεύειν ἄξιον τού-

D. 9. περιενεχθέντες] Rectius erat, περιεφθέντες, ut Herod VIII, 18. B. περιερχθέντες.
E. 1. ἐβούλευον] Sic B. E. ut Herodot. Vulgo, ἐβουλεύοντο.
E. 3. δεδόσθω] Sic B. E. T. V. Anon. Xyl. Vulgo, δεδόσθαι.
E. 5. πικρῶς] Haud ſcio an rectius fuerit γλίσχρως.
E. 6. Ἑστιαιεὺς] Non mutavi, quod B. E. Ald. Baſ. et alii ſervant. Xyl. ex correctione ipſe ſua Ἱστιαιεὺς, ut Herod. VIII, 23.

cit nondum audita Leonidæ morte fugam molientes, his adeo verbis, *Male autem accepti, et haud minime Athenienſes, quorum navium dimidium erat confractum, fugam in Græciam meditabantur.* Liceat ſane ei diſceſſionem ante conflictum ſic appellare, aut potius hoc probro adficere: ita quidem odioſe huic vocabulo inhæret, ut et ante, et nunc, et mox rurſum *fugam* nominet. *Ad barbaros*, inquit, *ſtatim ſecundum hæc navi venit vir Heſtiæenſis fugam Græcorum ab Artemiſio factam nuntians. Illi, quod incredibilis res videbatur, nuntio in cuſtodiam dato, naves celeres ſpeculatum miſerunt.* Quid ais tandem? Fugere tanquam victos dicis, quos poſt pugnam hoſtis non credit fugere, ſciens ſuperiores multo fuiſſe? Jam par eſt homini huic credi de

τῷ γράφοντι περὶ ἀνδρὸς ἢ πόλεως μιᾶς, ὃς ἑνὶ ῥήματι τὸ νίκημα τῆς Ἑλλάδος ἀφαιρεῖται, καὶ τὸ τρόπαιον καθαιρεῖ, καὶ τὰς ἐπιγραφὰς ἃς ἔθεντο παρὰ τῇ Ἀρτέμιδι τῇ Προσηῴᾳ, κόμπον ἀποφαίνει καὶ ἀλαζονείαν; ἔχει δὲ οὕτω τὸ ἐπίγραμμα,

Παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίας ἀπὸ χώρας
Παῖδες Ἀθηναίων τῷδέ ποτ' ἐν πελάγει
Ναυμαχίᾳ δαμάσαντες, ἐπεὶ στρατὸς ὤλετο Μήδων,
Σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι. 868

Ἐν μὲν οὖν ταῖς μάχαις οὐκ ἔταξε τοὺς Ἕλληνας, οὐδὲ ἐδήλωσεν ἣν ἑκάστη πόλις ἔχουσα χώραν ἐναυμάχησε· κατὰ δὲ τὸν ἀπόπλουν, ὃν αὐτὸς δρασμὸν προσαγορεύει, πρώτους φησὶ Κορινθίους πλεῖν, ὑστάτους δὲ Ἀθηναίους.

λε'. Ἔδει μὲν οὖν μηδὲ τοῖς μηδίσασιν Ἑλλήνων ἄγαν ἐπεμβαίνειν, καὶ ταῦτα Θούριον μὲν ὑπὸ τῶν ἄλλων νομιζόμενον, αὐτὸν δὲ Ἁλικαρνασσέων προσεχόμενον, οἳ, Δωριεῖς ὄντες, μετὰ τῆς γυναικωνίτιδος ἐπὶ τοὺς Ἕλλη-

F. 5. Προσηῴᾳ] Recepi post Xyl. ex pari loco Plutarchi, Themistocl. p. 115. F. Omnes alii libri habent πρὸς, sequente lacuna.

viro aliquo aut urbe scribenti, qui uno verbo victoriam Græcis adimit, tropæumque dejicit, et inscriptiones quas illi posuerunt apud Orientalem Dianam, fastum pronunciat esse inanemque jactantiam? Epigrammatis hæc est sententia,

Cecropia hoc quondam in pelago cum classe juventus
Devicit populos omnigenos Asiæ,
Medorum periitque exercitus: ista tropæa
Protinus erexit, virgo Diana, tibi.

Porro in præliis non indicans ordinem Græcorum, et quem quæque civitas in pugna navali tenuisset locum, in discessu, quem ipse *fugam* appellat, primos ait navigasse Corinthios, ultimos Athenienses.

XXXV. Oportebat profecto non nimis insultare Græcis Medorum partes amplexis hominem qui, ab aliis Thurius habitus, ipse se inter Halicarnassenses refert; qui cum essent Dorienses, una cum gynæceo in bellum contra Græ-

νας ἐστράτευσαν· ὁ δὲ τοσοῦτον ἀπολεῖ τοῦ πρότερον ὀνομάζειν τὰς τῶν μηδισάντων ἀνάγκας, ὥστε περὶ Θετταλῶν

B διηγησάμενος ὅτι Φωκεῦσιν ἐχθροῖς καὶ πολεμίοις οὖσι, προσέπεμψαν, ἐπαγγελλόμενοι τὴν χώραν αὐτῶν ἀβλαβῆ διαφυλάξειν, εἰ πεντήκοντα τάλαντα μισθὸν λάβοιεν, ταῦτα περὶ Φωκέων γέγραφεν αὐτοῖς ὀνόμασιν· « Οἱ γὰρ Φωκεῖς μοῦνοι τῶν ταύτῃ ἀνθρώπων οὐκ ἐμήδιζον, κατ' ἄλλο μὲν οὐδὲν, ὡς ἐγὼ συμβαλλόμενος εὑρίσκω, κατὰ δὲ τὸ ἔχθος τὸ Θεσσαλῶν· εἰ δὲ Θεσσαλοὶ τὰ Ἑλλήνων ηὖξον, ὡς ἐμοὶ δοκεῖ, ἐμήδιζον ἂν οἱ Φωκεῖς.» Καίτοι μετὰ μικρὸν αὐτὸς ἐρεῖ τρισκαίδεκα πόλεις τῶν Φωκέων ὑπὸ τοῦ βαρβάρου κατακεκαῦσθαι, διεφθάρθαι τὴν χώραν, ἐμπεπρῆσθαι τὸ ἐν Ἄβαις ἱερὸν,

C ἄνδρας ἀπολωλέναι καὶ γυναῖκας, ὅσοι μὴ διαφυγόντες ἔφθησαν εἰς τὸν Παρνασόν. Ἀλλ' ὅμως τοὺς τὰ ἔσχατα παθεῖν ἐπὶ τῷ μὴ προέσθαι τὸ καλὸν ὑπομείναντας, εἰς τὴν αὐτὴν ἔθετο κακίαν τοῖς προθυμότατα

cos sunt profecti. Ille vero tantum abest ut necessitates prius recenseat eorum qui ad barbaros defecerunt, ut de Thessalis quoque narrans, "mi- "sisse eos ad Phocenses, qui- "bus cum illis inimicitiæ et "bella intercedebant, pollici- "tosque regionem ipsorum ab "omni damno immunem præ- "stituros, mercede quinqua- "ginta talentorum accepta, "hæc de Phocensibus scrip- "serit:" *Soli enim Phocenses istis in locis non inclinabant ad Medos; nulla alia de caussa, quantum ipse conjectura assequor, quam quia oderant Thessalos: qui si Græcorum rebus studuissent, arbitror Phocenses Medis se adjuncturos fuisse.* Atqui paulo post ipse dicit, "duodecim Phocicas urbes a "barbaro fuisse combustas, e- "vastatum agrum, incensum "quod Abis erat templum, "viros et mulieres interfectos; "nisi qui fuga in Parnassum "evasissent." Et tamen eos qui sustinuerunt extrema, ne proderent honestatem, eodem ponit loco cum iis qui prom-

